λάχωσιν, [n] ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ, λύπης· καὶ [o] οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ [p] ἐντελευτῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν ἴσως ἐν οἷσπερ καὶ πολλάκις ἔξεστι ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐκ ὧν ἄν τις μὴ [q] πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' ἃ ἂν ἐθὰς γενόμενος [r] ἀφαιρεθείη. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· (ἰδία [s] τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται·) καὶ τῇ πόλει διχόθεν, ἔκ [t] τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ, [v] ξυνοίσειν. ὁ γὰρ οἷόν τε [x] ἴσόν τι ἢ δίκαιον βουλεύεσθαι, οἱ [y] ἂν μὴ καὶ παῖδας ἐκ τῶν ὁμοίων παραβάλλόμενοι [z] κινδυνεύωσιν. ὅσαι δ' αὖ παρηβήκατε, τόν τε [a] πλείονα, κέρδος [b] ὄν, εὐτυχεῖτε βίου, ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ [c] τῶνδε

n Ὥσπερ νῦν οἵδε μὲν *Marg.* adprobat *Steph.* Particulam νῦν non agnoscit *Ar. Cl.* Ὥσπερ οἵδε νῦν μὲν *Gr.* o Ἐν (quod ante οἷς legebatur) deest *Ar. C. Cl. Gr. Reg. Caff. Dan.* Baf. Aug. p Τελευτῆσαι *Reg.* q Πειρασάμενος *Ar. C. Bar. Ald. Flor. Baf. Caff. Gr.* Aug. In marg. cod. Baf. ſcriptum erat ab emendatore πειραθείς. Mox pro ἀλλ' ἃ, in marg. cod. Baf. eſt: ἀλλ' ἄν. r Ἀφαιρεθῇ *Ar. C.* s Τάς τε *Ar. C. Caff. Reg. Gr.* Aug. t Τε deeſt *Reg.* v Ξυνοίσειν malit *Canterus.* Ξυνοίσει *Cl. Gr. Caff. Dan.* ſed hic ab emendatore ξυνοίσειν. Ξυνοίσει Aug. pr. manu. Sic et cod. Baf. et Mosqu. x Ἰσόν τε *Caff.* Aug y Μὴ ἂν καὶ παῖδας *Reg. Caff.* οὐ ἂν καὶ μὴ παῖδας Aug. z Κινδυνεύωσιν *Ar. Bar. Ald. Flor. Baf Steph.* 1. Sed cod. Baf. κινδυνεύωσιν. a Πλείονα *Ar C. Dan.* b Ὂν εὐτυχ. *Marg. C.* Ὂν εὐτυχεῖτε *Caff.* In marg. Flor. Vin. ſcriptum eſt vt in Aug. τόν τε πλείονα κέρδος, ἐν εὐτυχεῖτε βίου ἡγεῖσθε. Mox in Mosqu. ἔσεσθε, et in eodem verba: καὶ τῇ — εὐκλείᾳ, deſunt. c Τῆδε *C.* Margine τῶνδε.

[Περιόντες) Ita correxi ex Caſſ. et Aug. pro παρόντες et addidi poſt v. γονεῖς, Scholion cum cap. οἷς) λείπει τὸ ἐν ἐκείνοις, e Caſſ. et Aug. in quo ad οἷς ſcriptum eſt h. Scholion. Περιόντες γονεῖς, *ſuperſtites parentes* dicuntur reſpectu defunctorum.] GOTTL.

Ὥσπερ] Magis placet, particulam νῦν poſt Ὥσπερ poni, vt habes in margine. STEPH.

Καὶ οἷς ἐνευδαιμονῆσαι — ξυνεμετρήθη] Praeeuntibus optimis codd. deleui ἐν ante οἷς, quibus et ſubſcribit Abreſchius (Dilucc. p. 208.) Poſt καὶ e ſuperioribus ſuppleo: τὸ εὐτυχὲς ἐκείνοις — *iisque felicissimis esse contigit, quibus salus et incolumitas in vita tributa est et felix exitus, ſ. mors gloriosa.* Mecum ſentit Schol. Aug. λείπει τὸ ἐν ἐκείνοις. Abreſchius οἷς ſ. ἐν οἷς interpretatur de rebus, ſubaudito ἔργοις, atque ἀπὸ κοινοῦ repetit ἐπίσανται, *norunt, quibus rebus et felicem vitam agere, et felisem sortiri vitae exitum contingat.* De qua duritie ordinis ſupra monui. Reiskius eleganter pro ἐντελευτῆσαι coniicit: ἐνευτελευτῆσαι, et Abreſchius in Dilucid. l. c. τελευτῆσαι praefert e cod. Reg. Reiskius hanc conſtructionem verborum facit: τὸ εὐτυχὲς, l. ἡ εὐτυχία ἐν τούτῳ συνέχεται, ἐὰν ὧσιν οἷς ἂν λάχωσιν — καὶ ταῦτα ἐν οἷς ξυνεμετρήθη — *felicitas sortis in eo continetur, vt aliquis adipiscatur — deinde continetur ea in eiusmodi rebus, in quibus fortunatam vitam degere et praeclaram mortem obire a fatis tributum est.* Mox recte, opinor, Abreſchius explicat v. χαλεπὸν — ὃν οἶδα πείθειν ὦν — ita: χαλεπὸν μὲν ἔν οἶδα ὦν, πείθειν ὑμᾶς ταῦτα, ὧν — (Dilucc. p. 209.) Reiskius legi vult, (anim. p. 20.) οἶδα ἀπειθῆ ὄν, *novi difficile esse, non lugere eos, quorum* — ſine cauſſa idonea. G.

Ἐν οἷς — ξυνεμετρήθη] Ἐν ſi deleatur, nempe primum, vt per ſe poſitum, (nam in verbis vtique retinendum videtur, vel propter antitheſin;) fiet οἷς magis referatur ad homines, quam ad res vitae; ſed hominibus ipſis minus conuenerint verba, ἐνευδαιμ. et ἐντελευτ. quippe vbi ſcriptum non ſit, *in* quibus rebus felices agant et moriantur. Quare ad res referamus οἷς, tali ſenſu: in quibus vt et viuerent felices, et ita morerentur, vita illis ſit deſcripta et aſſignata; (*zugemeſſen.*) Hoc ita pendebit ab εὐτυχές· felicitas eſt, ſi qui et vitam et mortem decoram nacti ſint, et in iis rebus (poſita eſt); in quibus vt feliciter viuerent et morerentur, vita illis fuerit deſignata diuinitus ac diſpenſata. Sed tamen ob prius οἷς ἐν malim et alterum οἷς referre ad homines; praeſertim etiam ob καὶ praemiſſum. Sed tunc primum ἐν haud dubie rectius abſit. At reliqua duo ἐν, vt dixi, in verbis tunc non habeant, quo referantur: niſi ſuppleueris ex prioribus, vt felices eſſent et obirent in illis, nempe in vita et morte glorioſa. BAVER.

[Ἐν εὐδαιμονίᾳ) In Aug. deeſt praepoſitio ἐν. In eodem cod. deſunt Scholia ad verba Ἐθὰς γενόμενος· Οὐκ ὄντων λήθη et Παρηβήκατε.] G.

Πείθειν] Conſer *Lyſiam* p. 520. WASS.

Καὶ αὐτοὶ ἠγάλλεσθε] In marg. Flor. Vin. ſcriptum eſt: μὴ λυπεῖσθε. G.

Καὶ λύπη — στερίσκηται] Ordo eſt: καὶ γὰρ λύπη ἐστὶν, ὃ ἄν τις ἐθὰς γενόμενος ἀφαιρεθείη, ὃ τῶν ἀγαθῶν, ὧν μὴ πειρασάμενος στερίσκηται. Abreſchius (in Dilucidatt. p. 210.) excitat geminas huic ſententias, v. c. Xenoph. VII. K. Π. p. 550. ὃ γὰρ τὸ μὴ λαβεῖν τ' ἀγαθὰ ὅτῳ χαλεπὸν, ὥσπερ τὸ λαβόντα στερηθῆναι λυπηρόν -- Reiskius pro λύπη legi vult: λυπεῖ, *non ea nos tristitia et moerore afficiunt.* Pro πειρασάμενος recepit Bauerus πειρασόμενος. G.

Τέκνωσιν ποιεῖσθαι] i. e. τεκνῶσαι, τεκνοποιεῖν, παιδοποιεῖν, v. Abreſch. in Dilucid. p. 212. Mox οἱ οὐκ ὄντες ſunt *mortui*, ἀπογενόμενοι, τεθνηκότες, (v. Schol. ad c. 45.) *qui esse desierunt*, quibus opponuntur, οἱ λοιποὶ, quos ſupra (c. 43.) vocat. Λήθη eſt h. l. *obliuiſcendi materia*, vel *cauſſa obliuionem adferens.* Sic ζωὴ, ὄνειδος, πτῶμα, item latinorum *caſus*, pro *cadendi modo* et *occaſione* ſumitur. Alia exempla huius vſus collegit Abreſch. in Dilucidatt. p. 212. et in auctar. p. 275. In v. καὶ τῇ πόλει, repetendum, λήθη ἔσται, et, καὶ (ἐκ τοῦ) ξυνοίσειν (n. αὐτὲς) οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι (τῇ) ἀσφαλείᾳ (αὐτῆς) *quod qui idonei liberis procreandis sunt securitati vrbis consulturi sunt.* Hi non ſunt οἱ ἐπιγιγνόμενοι, ſed, vt intelligenter monet Abreſch. in Dilucc. l. c., *eorum parentes*, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι, vt ſequentia quoque docent: ὃ γὰρ οἷόν τε -- κινδυνεύωσι. Reiskius (in anim. p. 20.) quoque τὸ ξυνοίσειν pendere ait ab ἐκ, et locum ita enarrat: *cum priuatim cuique, tum publice toti ciuitati exsistet obliuio iacturae in his perentis factae: priuatim quidem, per liberos succedaneos, quos iam deinceps quisque suscipiet; publice autem duplici modo: altero, quod vrbs noua prole aucta non habebit, cur desolationem metuat: altero, quod ea nouae subolis susceptio securitati eius conducet.* E Reiskii verbis extremis patet, eum non cum Abreſchio facere, ſed ἀσφ. ξυνοίσειν ad ἐπιγιγνομένους referre. Ἀσφαλείᾳ, pro εἰς ἀσφάλειαν poſitum, et ξυνοίσειν eſt συνεπενεγκεῖν, vt Heſych. interpretatur, qui, vt Abreſchio videtur, ad hunc locum reſpexit. Canteri correctio legentis ξυνοικήσειν, pro quo ma-

tem *sunt adepti*, quibus honestissimus vitae finis, vt nunc istis *mortuis*, vobis vero moeror obtigit: et quibus datum est, * vt *eorum* vita feliciter acta pariter et finita censeatur. Scio autem difficile esse persuadere vobis, quorum monumenta vel saepius in aliorum rebus secundis habebitis, quibus vos quoque quondam exsultabatis. nec dolor *contingit*, quum quis bonis, quae nunquam est expertus, priuatur: sed quum quis *eo bono* spoliatur, quo frui consueuerat. Hoc tamen spe aliorum quoque liberorum tolerandum est illis, qui per aetatem liberos adhuc suscipere possunt. Nam futura soboles et priuatim defunctorum obliuionem nonnullis afferet; ** et reipublicae bifariam *proderit*, tum quia *ad vrbis frequentiam*, ne deserta relinquatur, tum etiam quia ad *eius* praesidium conferet. Fieri enim non potest, vt, qui liberos non habent, quos *pro patria* periculis obiiciant, perinde atque isti fecerunt, quicquam iustum aut aequabile in commune consulant. *** Quotquot vero aetate iam prouecta estis, vitam actam, quae fuit longior, et in qua floruistis, loco lucri ducite; et reliquam breuem fore existimate, et istorum gloria dolorem leuate. Solum enim honoris, *et verae gloriae* studium non senescit. Bell. Pelop. an. 1. Olymp. 87. 2. V. C. Varr. 323.

* Eundem supremum agere et beatum vitae diem. *Canterus*. HVDS.

** Et reip. bifariam (sc. defunctorum obliuionem afferet;) nempe vrbis frequentia et praesidii firmitudine. IDEM.

*** Qui vero maiores natu estis, quibus maxima vitae pars, quod lucro est apponendum, beate acta est, quae reliqua sit, breuem fore cogitate, atque eam ipsam ista horum gloria eleuate. *Casa*. IDEM.

ἐν εὐδαιμονίᾳ καὶ ζῆσαι καὶ τελευτῆσαι. Εὐτυχίαις] τυτέσι τοῖς τέκνοις. Ἔθὰς γενόμενος] ἐξ ἔθους ἀπολαύων. Ἰδίᾳ] Γρ. ἡδεῖα, τυτέσι, γλυκεῖα ἡ λήθη τῶν ἀπελθόντων τέκνων, εἰ ἐπιγεννηθέντες γίνονται παῖδες. Οὐκ ὄντων λήθη] τῶν τεθνηκότων. Παραβαλλόμενοι] εἰσφέροντες. Παρηβήκατε] γεγηράκατε. Ἐν τῷ ἀχρείῳ] τῷ γήρᾳ δηλονότι. Τὸ κερδαίνειν] φιλάργυροι

lit Heilmanus, ξυνοικεῖν, dura est, nec huius loci. Var. Lect. ἡδεῖα, pro ἰδίᾳ notata a Scholiaste MS. Basil., memorabilis est, huic loco accommodata et elegans. Iucunda est obliuio iacturae, si, quae amissimus, nobis compensantur. Nec obstare videntur τῇ πόλει, quae respondent ἰδίᾳ; possent enim respicere ad τισὶν — Sed quod vulgata bonum sensum fundit, nihil mutandum censeo. Bauerus ceterum verba ab ἰδίᾳ, vsque ad ἔσονται parenthesi vult includi et ξυνοίσειν ab ἐλπίδι pendere. GOTTL.

Ἰδίᾳ] Alteram lectionem, ἡδεῖα, B. Gottl. arridentem, fateor, mihi videri nimis scitulam et bellulam, vt plane frigeat. Et vero ἰδίᾳ aperte respicit τῇ πόλει, vtut sit in Parenthesi; quid enim? adest tamen; et solet Noster, aliique etiam in Parenthesin coniecta respicere in contexto directo. BAVER.

[Ἰδίᾳ) Γρ. hoc Scholion intuli e cod. Bas. quo innuit, in quibusdam codd. legi ἡδεῖα. v. not. In Aug. desunt Schol. a verbis Κοινῇ γὰρ — ad Καὶ ἐν τῇ μὴ προσηκούσῃ.] G.

Ξυνοίσειν] *Canter.* in Syntagm. de rat. emend. Graec. Script. p. 42. legit ξυνοικήσειν, nescio quo sensu. Pro ξυνοίσειν etiam legendum puto ξυνοίσει, quod in nonnullis *Mss.* est, vt conueniat cum praecedenti ἔσονται. Nam coniungenda videntur illa καὶ τῇ πόλει διχόθεν συνοίσει. Infinitiuus ξυνοίσειν vnde pendere possit, non intelligo. Τὰς ὐκ ὄντας dici mortuos sexcentis testimoniis ad *Matth.* II, 18. ostenderunt prope omnes, qui *Nou. Testam.* ex aliis Scriptoribus illustrare adgressi sunt. DVCK.

Οἱ μὴ παῖδας — παραβαλλόμενοι κινδυνεύωσι] h. e. παραβάλλονται ἐς κίνδυνον, vt loquitur Xenoph. K. Π. L. II. 3. p. 202. quem locum bene enarrauit Zeunius, V. C.; vel vt Noster habet (III. 14.) μὴ πρόησθε ἡμᾶς ἴδιον τὸν κίνδυνον τῶν σωμάτων παραβαλλόμενοι, vbi subaud. ἐς vel πρός. Abresch. in Dilucidatt. p. 213. probat Schol. enarrationem, et ἐκ τῆ ὁμοίᾳ παραβάλλεσθαι idem esse ac συνοίσειν, i. e. συνεισενεγκεῖν. *Periculi* significatu, non esse cum interprete sumendum. Mihi quidem prior explicatio placet, quae cum Interprete congruit. Es ist nicht möglich, dafs Leute, die nicht eben so, wie andere, Kinder haben, die sie den Gefahren, dem Staat zum Besten, ausfetzen können — G.

Παῖδ. παραβαλλ. κιν.] Nescio, cur intelligam, ἐς κίνδυνον παραβάλλωνται ac non simpliciter, qui non *ipsi* periclitentur pro virili parte liberis suis in pericula pro republ. datis. Hos enim, negat, pari sensu fore cum reliquis, non eodem ardore, quia in nullo ipsi casu periculi iactentur per liberos eo datos. 3, 14. κίνδυνον σωμάτων παραβάλλεσθαι, per hypallagen dictum est, pro, παραβάλλεσθαι τὰ σώματα εἰς κίνδυνον. BAVER.

Ὅσοι — παρηβήκατε — κέρδος ἂν, εὐτυχεῖτε —] Παρηβήκατε, *aetate iam estis prouecta, et ita procreandae proli parum idonei, et plurimum vitae tempus, id quod in lucro ponendum, bene feliciterque egistis; existimate, etiam hanc s. reliquam breuem fore.* Vulgata lectio probabilis et Thucydidi accommodata; quam etiam probat Abreschius in Dilucc. p. 214. Bauerus e quibusdam MSS. dedit: τόν τε πλείονα, κέρδος, ὃν εὐτυχεῖτε, βίον ἡγεῖσθε, *qui vitam, si quam vltra viuetis, pro lucro habetis*, retulitque ἡγεῖσθε ad παρηβήκατε, ita vt infinit. ἔσεσθαι aut ab ἡγεῖσθε, bis intellecto, aut ab ἐλπίδι pendeat. Sed apparet, verba πλείονα βίον ad exactam, non ad futuram s. reliquam vitam referenda esse. In marg. Flor. Vinar. scripta sunt h. v. ita: τόν τε πλείονα κέρδος, ὃν εὐτυχεῖτε, βίον ἡγεῖσθε, *et ita* Vulla: n. *quo diuturniorem vitam feliciter traduxistis, eo plus lucri vos fecisse existimetis.* G.

Τ. πλείονα — βίον] Non vrgeo lectionem mihi probatam; nec tamen video, cur πλείονα βίον ad *praeteritum* vtique referamus; nam profecto, qui *diutius* vixerit in *posterum*, habeat vitam πλείονα, quam adhuc, et *plus* viuat: vt Tac. in

εὐκλείᾳ [d] κεφίζεσθε. τὸ γὰρ Φιλότιμον [e] ἀγήρων μόνον· καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινὲς [f] φασὶ, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

με'. „Παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ἐρῶ μέγαν τὸν ἀγῶνα. τὸν γὰρ οὐκ ὄντα [g] ἅπας εἴωθεν ἐπαινεῖν· καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς ἀφ' ὁμοίοι, ἀλλ' ὀλίγῳ χείρους [h] κριθείητε. Φθόνος γὰρ τοῖς ζῶσι πρὸς [i] τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τελίμῃται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχεῖα παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν μεγάλη ἡ δόξα, [k] καὶ ἧς ἂν [l] ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἡ ψόγος ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

με'. „Εἴρηται καὶ ἐμοὶ [m] λόγῳ καθ' τὸν νόμον ὅσα εἶχον πρόσφορα· καὶ ἔργῳ, εἰ θαπτόμενοι, τὰ μὲν; ἤδη κεκόσμηνται· [n] τὰ δὲ, αὐτῶν τὰς παῖδας [o] τὸ ἀπὸ τῆδε δημοσίᾳ ἡ πόλις [p] μέχρις ἥβης [q] θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. ἆθλα γὰρ

d κεφίζεσθαι *Gr.* ex emendat. inter versus. Ed. Bas. ἡγεῖσθαι et κεφίζεσθαι. *e* ἀγήρων *Marg.* Bas. ed. *Dan.* ἀγήρων in Mosqu. et marg. Flor. Vin. *f* φασὶν *Gr.* *g* Πᾶς *Ar. C. Dan.* Mox εἴωθε *Gr.* *h* Ita ex emendat. recent. manus *Gr.* quod in textu erat κωλυθείητε. *i* Τὸ ἀντίπαλον *Thucydidem* scripsisse suspicatur *Steph.* Sic *Cl.* Etiam *Reg.* Bas. *Cass.* et Aug. (Vulgo τόν.) Mox in eodem ἀμτὸν. *k* Καὶ ἧς ἂν *Marg. Ar. C. Cl. Gr.* quam lectionem genuinam esse existimat *Steph.* Locum sic vertit *Valla*: Cuius rei decus dedecusue minimum cadit in viros. Καὶ ἧς ἂν etiam *Cass. Dan.* Bas. Aug. et Mosqu. Olim οἷς. *l* Ἐπιλάχιστον *Dan.* *m* Λόγῳ οἱ θαπτόμενοι *Cass.* omissis intermediis, quae in marg. adscripta sunt. Mox v. καὶ ἔργῳ non sunt in textu cod. Aug. Sed in margine, ab eadem tamen manu, a qua Scholia scripta sunt. *n* Τὰ δ' αὐτῶν *Gr.* *o* Τὰ ἀπὸ *Cl. Cass.* Τοιαυτῆδε *Reg.* Τὰ ἀπὸ τῆδε Aug. *p* Μέχρι *Cass.* Aug. *q* Θρέψῃ *Gr.*

Ann. de futura vita ait: si *plures* ad curas vitam perduxero. BAVER.

Τῇ τῶνδε εὐκλείᾳ] Haec verba δεικτικῶς sunt accipienda, de illis, quorum ossa erant proposita. v. Abresch. Dilucc. p. 214. Mox pro ἀγήρω in Flor. Vin. margine scriptum: ἀγήρων. G.

Ἀγήρων] *Marg.* ἀγήρω, et firmat *Plutarch.* Moral. 783. Sic apud eundem ἔκπλεω, ἀνάπλεω. vtroque modo *Homerus.* Noster hiatus amat. Ad scenes ἀγήρων eleganter, quomodo *Aeschylus* Agam. ἥβᾳ, vtitur. Ἀεὶ γὰρ ἥβᾳ τοῖς γέρουσιν εὖ μαθεῖν. v. 593. vid. *Valerium Flaccum* I, 77. Confer *Demosth.* p. 156. c. WASS.

[Τὸ κερδαίνειν) Hoc caput praeposui verbis: φιλάργυροι — γέροντες, quae illud flagitant. In Aug. desunt Schol. ad verba Ἐξὰς γενόμενος· Ἴδιᾳ· Οὐκ ὄντων λήθῃ· Παρηβήκατε· Τὸν γὰρ οὐκ ὄντα· Ἀλλ' ὀλίγῳ et Ἀνανταγωνίστῳ.] GOTTL.

Παισὶ αὖ ὅσοι τῶνδε πάρεστε —] Plene ita scribendum erat: ὅσοι αὖ τῶνδε πάρεστε παῖδες ἢ ἀδελφοὶ, ὑμῖν ὁρῶ μέγαν τὸν ἀγῶνα, vt mox: ὅσαι νῦν ἐν χηρείᾳ — ὑμῖν. Exempla huius breuiloquentiae v. apud Abresch. in Dilucidatt. p. 215. G.

Καθ' ὑπερβολὴν —) *Etiamsi egregie facta patraueritis, quae exempla sint virtutis; aegre tamen, non dicam aequalem, sed minorem laudem, horum defunctorum gloria consequamini necesse est.* Χείρους, i. e. ἧττους. G.

Πρὸς τὸν ἀντίπαλον] Suspicor scriptum potius fuisse τὸ ἀντίπαλον. magis enim *Thucydideus* hoc loco est neutrius generis vsus. STEPH. *Stebaeus* Aurel. Allob. 1609. p. 224. πρὸς τὸ ἀντίπαλον, quomodo alibi noster. atque ita *Cl.* eleganter; hos firmat *Theon.* p. 9. et 102. ἀντίπαλα de hostium acie vtitur Antiq. VI, 11. *D. Halic.* ἀντιπάλους vero non pro caetera sua elegantia *Plutarchus.* Iosephus VII. B. 1321. Κἀκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς ᾄδειν ΑΝΤΙΠΑΛΟΝ εὑράμενοι τοῖς πολεμίοις. *Aeschylus* Prometh. 525.

Μηδάμ' ὁ πάντα νέμων
Θεῖτ' ἐμῇ γνώμᾳ κράτος ΑΝΤΙΠΑΛΟΝ Ζεύς.

Scio Demosthenem alia placuisse. Rem vero sic effert *Aeschylus* Agamemn.

Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὴς τόδε
Φίλον τὸν εὐτυχοῦντ' ΑΝΕΥ ΦΘΟΝΟΥ σέβειν.
Δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος,

Ἄχθος διπλοίζει τῷ πεπαμμένῳ νόσον.
Τοῖς τ' αὐτὸς αὐτῷ πήμασιν βαρύνεται,
Καὶ τὸν ΘΥΡΑΙΟΝ ΟΛΒΟΝ εἰσορῶν, ΣΤΕΝΕΙ.

Archilochus:

Τοῖς μὲν τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός,
Τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατον, φθόνος.

vid. *Polybium* I. p. 51. Mimnermus:

Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
Ζῶντι· ΦΘΟΝΗΣΑΙ, κατθανόντα δ' αἰνέσαι.

Liuius alicubi: Non inuiderunt laudes suas mulieribus viri Romani; adeo sine OBTRECTATIONE alienae gloriae viuebatur. WASS. Τὸ ἀντίπαλον rursus *Thucyd.* IV, 92. Πρός τε γὰρ τὸν ἀτυχοῦντας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται. Nec dubium est, quin hic quoque melius ita legatur. Infinita sunt exempla huius vsus adiectiuorum in Lingua Graeca. Vid. *Barnes.* ad Euripid. Androm. v. 603. et ad Anacr. Carm. II. DVCK.

Τὸ ἀντίπαλον] Pro τὸν, more Nostri; v. Ind. v. *Neutr.* Ita 4, 19. τὰ ὑπερεχυχῶντα pro τὰς ὑπερεχυχῶντας. et 20. extr. τὰ μέγιστα τιμήσει, p. τὰς μεγίστας. v. et 2, 50. n. 2. BAVER.

[Τὸ δὲ μηδὲν) In Aug. deest δὲ. G.

Γυναικείας τι ἀρετῆς ὅσαι —] Pro τῶν γυναικῶν· sed nota Synesis, Nostro non inusitata. Abreschius simile exemplum ex Aelian. Anim. XIII, 4. profert: σποδιὰ πίττῃ προσανακραθεῖσα κατεχρίεται τῶν λειψοτρίχων μερῶν, καὶ αἱ τέως φυγάδες ὑπαναφύονται. Muliebris illa virtus est haud dubie *modestia*, Scholiastes cod. Rostg. ad h. v. ἥτις γυναιξὶν ἀνήκει· ἴσως σωφροσύνην αἰνίττεται. Menander apud Stob. Tit. 75. p. 450. de virgine nubili: Θυγάτηρ ἐπίγαμος κἂν ὅλως μηδὲν λαλῇ, Διὰ τοῦτο σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει. G.

Γυν. ἀρετῆς] Etsi deinde de modestia loquitur; hic tamen, quoniam hic apparet, eum et feminas velle sua quadam laude condecorare, intelligam animi magnitudinem, liberalitatemque, qua condonauerint patriae liberos suos, victo amore materno. BAVER.

[Κρύπτεται) In codd. Cass. et Aug. legitur κρύπτεται, ad mentem Thucydidis, rectius, vt eam Plutarchus exponit. v. not. Duckerus arbitratur, h. v. habere speciem alicuius versus, et testimonii vetusti cuiusdam scriptoris.] G.

Neque in ea aetatis infirmitate, quae hominem reddit inutilem, quaestus, vt nonnulli dicunt, magis delectat, quam ipse honor, quo quis ornatur. Bell. Pelop. an. 1. Olymp. 87. 2. V. C. Varr. 323.

45. „Liberis autem, et fratribus istorum, quotquot hic adestis, magnum certamen *propositum esse* video. Eum enim, qui fato functus est, quilibet laudare solet. Et vix vestrae virtutis exsuperantia *hoc assequi poteritis, vt* non *dico* pares illis; sed vt paulo inferiores iudicemini. Nam liuor est inter aemulos, quamdiu viuunt. Sed id, quod nullis est impedimento, *et is, qui iam obiit*, beneuolentia, non aemula colitur. Si quam autem et de virtute mulierum, quae in viduitate nunc erunt, mentionem me facere oportet, breui adhortatione rem totam complectar. Nam gloriam magnam adipiscemini, si a pristina vestra natura *sexuque* non desciueritis; et si operam dederitis, vt quam minimum rumoris, siue in bonam, siue in malam partem, de vobis inter mares disseminetur.

46. „Exposui ego quoque oratione, ex legis praescripto, quaecunque ad rem praesentem facere iudicaui. et re ipsa qui sepeliuntur, partim quidem iam sunt ornati, partim vero illorum liberos ciuitas publice alet ad pubertatem vsque, vtilem profecto et istis et posteris coronam huiusmodi *bellicorum* certaminum proponens. Nam apud quos maxima virtutis praemia proponuntur, in horum etiam

γὰρ οἱ γέροντες. Τὸν γὰρ ἂκ ὄντα] τὸν τεθνηκότα. Ἀλλ' ὀλίγῳ] μέτρῳ δηλονότι. Τὸ δὲ μὴ ἐμποδὼν] τὸ δὲ μηδὲν ἔχον ἐναντίον. Ἀναγωνίσῃ] ἀναμφιβόλῳ. Καὶ γυναικείας τὶ ἀρετῆς] ἀρετὴ γυναικὸς σιωπωμένη κρύπτεται. Τῆς τε γὰρ] τῆς σωφροσύνης. μόνη γὰρ αὕτη ἀρετὴ ταῖς γυναιξὶν ἔνεστιν. ἢ γὰρ ἀνδρεία, ἢ δικαιοσύνη, ἢ φρόνησις. Εἴρηται] οἱ ἐπίλογοι. Μέχρις ἥβης ᾖρεψει] μέχρι ὀκτωκαίδεκα ἐτῶν. Ἄθλα γὰρ οἷς κεῖται] λείπει τὸ παρὰ, ἵν' ᾖ παρ' οἷς. Τοῖσδε καὶ ἀνδρες] παρὰ τοῖσδε.

Τῆς τε γὰρ ὑπαρχούσης φύσεως —] i. e. *nulla maior gloria vobis continget, quam si pudicitiam, castitatem in vobis, s. sexui vestro accommodatam desiderari non patiamini.* φύσιν explicat Abresch. in Diluc. p. 216. sexum. Χείρωσι γενέσθαι, idem est, ac ἥττασθαι. GOTTL.

[Ἡ δικαιοσύνη] In Aug. leg. καὶ δικαιοσύνη καὶ φρόνησις.] G.

Καὶ οἷς ἂν etc.] Verba primo adspectu obscura sunt: sed si relatiui οἷς resolutio fiat, satis clara erunt: καὶ ἐν τούτοις, ὧν ἂν ἐπ' ἐλάχιστα etc. *Acacius.* HVDS. Haec suis verbis effert *Plutarch.* Moral. p. 242. Apparet tamen, eum legisse ἧς cum plerisque *Mss.* De ἄρσην *Thom. Mag.* pag. 21. WASS. Verba *Plutarchi* in princip. libelli de Mulier. virt. sunt: Ὁ μὲν γὰρ (*Thucydides*) ἧς ἂν ἐλάχιστος ᾖ παρὰ τοῖς ἐκτὸς ψόγου πέρι ἢ ἐπαίνου λόγος, ἀρίστην ἀποφαίνεται. Quod *Thucydides* dicit, ἧς ἂν ἐπ' ἐλάχιστον κλέος ᾖ, id *Plutarcho* est, ἧς ἂν ἐλάχιστος λόγος ᾖ, *de qua quam minimus sermo sit.* Hoc melius intelligi potest, quam *Acacii* interpretatio τῇ οἷς. DVCK.

Καὶ ἧς ἂν ἐπ' ἐλάχιστον — κλέος ᾖ] Pro οἷς e codd. correxi ἧς, vt Plutarchus quoque legit, (de mulier. virt. T. VII. p. 1.) nisi memoriter locum laudauit: ἧς ἂν ἐλάχιστος ᾖ παρὰ τοῖς ἐκτὸς ψόγου πέρι ἢ ἐπαίνου λόγος. Haec verba explicant Thucydidea: ἐν τοῖς ἄρσεσι a Plut. exprimitur παρὰ τοῖς ἐκτὸς, quippe viri externa curant, vt mulieres τὰ ἔνδον, et κλέος est λόγος. Abresch. in Dil. p. 216. praefert cum Steph. et Duckero lectionem Plutarchi, hoc ordine: μεγάλη γὰρ ὑμῖν ἡ δόξα μήτε χειρ. γεν. τῆς ὑπαρχούσης (ὑμῖν) φύσεως, καὶ (τοιαύτης γυναικὸς) ἧς ἂν κλέος περὶ ἀρετῆς ἢ ψόγου ἐπ' ἐλαχ. ᾖ ἐν τοῖς ἄρσεσι. In marg. Flor. Vin. legitur ἧς, n. τῆς σωφρόσύνης. Valla vertit h. l. „*cuius rei decus dedecusue minimum cadit in viros.* Vulgatam lectionem Acacius ita resoluit: καὶ ἐν τούτοις, ὧν ἂν ἐπ' ἐλάχιστα. Duram esse ἀνάλυσιν loci, Intt. fatentur. Et quis non fateatur? Reiskius in Diluc. Abresch. 217. legi volebat: καὶ αἷς, aut ἧς. Priorem lectionem probabat in anm. ad h. l. p. 21. tanquam dixisset: ταύταις, αἷς καὶ ἐπὶ — redire enim Periclem ad mulieres. Ceterum Thucydideae sententiae similis est, quam habet Synes. de prouid. p. 105. Μίαν ἀρετὴν Ὄσιρις ᾤετο γυναικὸς εἶναι, τὸ μήτε τὸ σῶμα αὐτῆς, μήτε τοὔνομα διαβῆναι τὴν αὔλιον, quae, vt docet Toup. Em. in Suid. P. I. p. 25. est Menandri. Reperiuntur aliae huic non adeo absimiles, prolatae a Toupio l. c. Thucydideam sententiam non probat, sed Gorgiae potius, qui non vult mulieris formam, sed famam, multis esse notam. Hunc locum illustrat Plutarcheus, (in apophthegm. Lac. T. VI. p. 815. quum quidam non suas, sed alienas laudassent mulieres, Arigeus inquit: μὰ τὰς θεὰς, εἶπε περὶ τῶν καλῶν κἀγαθῶν γυναικῶν, οὐδένα δεῖ λόγον εἰκῇ λέγεσθαι, ἀγνοεῖσθαι δ' αὐτὰς τὸ παράπαν, ὁποῖαι, πλὴν μόνοις τοῖς συμβιοῦσι. G.

Ψόγῳ] *Musaeus:* Οὐδέποτ' ἀγρομένῃσι μεθωμίλῃτε γυναιξίν, Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων. Paulo supra pro πολίεσσιν lege πτολίεσσιν, et πτολίων cum *Mss. Baroc.* infra κερδαίνειν: *Liantis* dictum respicit. vid. *Laërt.* I. §. 87. Nam, vt ibi Periander §. 98. Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον· ita fuple ex *Stobaeo.* Lacunam certe agnoscit *Codex Cantab.* WASS.

Κλέος] Reiskius in Diluc. Abresch. l. c. coniicit, κῆδος, *cura, studium.* In anim. ad h. l. aptius quidem verbum esse dicit τὸ φροντὶς, sed nimis recedere a litterarum vestigiis. Cur mutari voluerit lectionem probam Reiskius, equidem non video. Mox in εἴρηται καὶ ἐμοὶ — variat orationem Noster, pro εἴρηται μὲν — ἔργῳ δὲ — Abresch. in auct. p. 277. credit, factum hoc esse, vt minus grata earundem vocularum, tam pauca intra verba, repetitio viretur. Τὸ καὶ post εἴρηται transpositum videtur Bauero, et ad λόγῳ referendum, vt καὶ λόγῳ καὶ ἔργῳ opponantur. Equidem sic capiendum h. l. arbitror: *equidem verbis, legi congruenter, quae facienda erant, feci:* et *reuera* (ciuitas curauit) *vt occisi pro patria, honorifice sepelirentur.* G.

[Εἴρηται) Hoc Schol. ex Aug. est additum; in eodem desunt Schol. ad verba Ἄθλα γὰρ οἷς κεῖται· Τοῖσδε καὶ ἄνδρες et Πολιτεύσει.] G.

Τὰς παῖδας — μέχρις ἥβης ᾖρεψει] Plato in Menexeno c. 22. Τὰς δὲ παῖδας συνεκτρέφει αὐτὴ, προθυμουμένη — Mox v. ἆθλα οἷς κεῖται ἀρετῆς μέγιστα — quoque ita efferuntur: τιμὴ

οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. νῦν δὲ, ἀπολοφυράμενοι ὃν προσήκει [r] ἑκάστῳ, ἄπιτε.

μζ'. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτῷ, πρῶτον ἔτος [s] τῷ πολέμῳ τῷδε ἐτελεύτα. Τῷ [t] δὲ θέρει εὐθὺς ἀρχομένῳ, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι [v] τὰ δύο μέρη, ὥσπερ καὶ [x] τοπρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικὴν (ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς·) καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. καὶ ὄντων αὐτῶν ἤδη πολλὰς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο [y] γενέσθαι τοῖς Ἀθηναίοις, [z] λεγόμενον μὲν καὶ πρότερόν πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις· [a] λοιμὸς, ὁδὲ φθορὰ ὅτως ἀνθρώπων ἠδαμοῦ ἐμνημονεύετο γενέσθαι. ὅτε γὰρ ἰατροὶ ἤρκουν [b] τοπρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ [c] μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσήεσαν, ὅτε ἄλλη ἀνθρωπεία τέχνη [d] ἠδημία. ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ [e] μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν. τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

r Ἕκαστος ἀποχωρεῖτε. *Marg.* Ἕκαστος ἄπιτε *Ar. C.* Προσήκει ἕκαστος, ἀποχωρεῖτε *Cl. Gr.* Sic quoque *Caſſ.* In *Gr.* nulla diſtinctio eſt. *Dan.* ita vt *Ar.* et *C.* In Aug. ἕκαστος. In eodem eſt ἀποχωρεῖτε. s Τῷ πολέμῳ τῷδε *Dan.* t Γὰρ *Reg.* v Κατὰ δύο μέρη malit *Steph.* Sed lectionem in textu retinendam arbitramur; vt ſit Atticiſmus ſubintellecta particula κατά. x Τὸ πρῶτον *Caſſ.* Aug. In Mosqu. τὸ πρότερον. y Γίνεσθαι *Ar. C. Caſſ.* Aug. Γίγνεσθαι *Dan.* z Λεγομένη *Marg.* vid. *Annot. Hudſ.* a Λιμὸς et cum emendat. ſupr. ſcript. λοιμὸς *Gr.* Mosqu. quoque ſup. ι, οι. Mox ὅτω, et paullo ante ἐγκατασκῆψαι *Gr.* In Mosqu. deſunt ἤδη φθορὰ — γενέσθαι. b Τὸ πρῶτον *Ar. C. Ald. Flor. Baſ.* vt et paulo infra; *Caſſ.* vtroque loco, *Gr.* infra. c Μᾶλλον *Ar. C.* d οὐδὲν μία *C.* Mox πρὸς τοῖς ἱεροῖς *Gr.* e Μαντείοις *Marg. Cl. Gr.*

τὰ πράγματα κρείσσονα ποιεῖ· *Honos alit artes.* Mox ἀπολοφυράμενοι, i. e. παυσάμενοι ὀλοφύρεσθαι, vt explicat Scholiaſtes ad c. 62. GOTTL.

[v] Ἄθλα — πολιτεύουσι] *Stobaeus* pag. 248. vbi πολιτεύουσιν. WASS.

[w] Ἄπιτε] Romana formula, *ſi vobis videtur, diſcedite Quirites. Liu.* II, 56. vid. *Philoſtratum* Vit. Apollon. V, 43. et *Platonem* Menex. p. 526. Pro ἄπιτε quidam *Mſſ.* ἀποχωρεῖτε ex Interprete. WASS. Quaero apud *Interpretem.* Paullo poſt *Dan.* non male τῷ πολέμῳ. Sic v. 56. 81. 83. DVCK.

[x] Ὃν προσήκει ἑκάστῳ, ἄπιτε] In quibusdam codd. eſt ἕκαστος, quod poſſit etiam habere locum. Mox ἄπιτε, vt in Menex. l., pro quo in quibusdam codd. reperitur ἀποχωρεῖτε, quae gloſſa eſt τῷ ἄπιτε. Imitatus eſt Cicero, Catil. III, 12. *Vos, Quirites, quoniam nox eſt — atque in veſtra tecta diſcedite* [ἄπιτε.] G.

[y] Ἄπιτε] Nil aliud habet, niſi finem orationis; et formulam vel clauſulam ſolemnem ritibus ſacris, qualis hic eſſet: *ilicet.* Ciceronis locus haud ſimilis, quippe vbi ſecuritatis et quietis cauſſa moneat ciues non ſimpliciter diſcedere, ſed privato contineri. BAVER.

Τάφος] i. e. ταφή. Sic ſumitur τάφος quoque ab Homero, Il. ψ. v. 619. vbi Euſtathius (p. 1319.) ad τάφῳ μνῆμα, ἤγουν ταφῇ. cf. Anim. ad Menex. Plat. p. 17. G.

Τὰ δύο μέρη] Alii haec verba intelligunt non de diuerſis exercitus partibus, vt *Portus* et *Acacius*, ſed regionis, in quam impreſſionem fecerunt. NVOS. Potius de duabus exercitus partibus intelligendum eſſe, liquet e Cap. X. et iis, quae ibi adnotat *Scholiaſtes.* Sententiam *Hudſoni* in *Var. Lection.* de ſupplemento τῷ κατὰ, non adſpernor. Sed tamen fortaſſis hic quoque locum habere poteſt nota illa figura, qua pro genitiuo nominatiuus, vel alius caſus, ponitur; ita vt Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ ἓνὸ μέρη, idem ſit, quod Πελοποννησίων καὶ τῶν ξυμμάχων τ. δ. μ. Multa huius generis ex vtriusque Linguae Scriptoribus habet *Perizon.* ad *Aelian.* V. H. 16. et Sanct. Mineru. IV, 8. Add. *Stephan.* ad Corinth. Artic. XXXIV. et *Gronou.* ad Arrian. de Exped. Alex. V, 20. DVCK.

[z] Ἤρξατο γενέσθαι] Melius videtur γίνεσθαι, quod optimi codd. habent. Imitati ſunt h. l. Lucret. VI. 1136. ſ. Virgilius (L. IIII. Georg. 478. ſſq.), Ouidius (VII, 523.), item Procopius (B. P. II, 22.), quos cum Noſtro contulimus. G.

[a] Τὸ δὲ λεγόμενον] In Caſſ. et Aug., praeter Scholion editum, reperitur aliud eiusdem argumenti: σχῆμα ἡ νόσος λεγόμενον· τὸ πρᾶγμα δηλονότι. In Baſ. cod. ad λεγόμενον adduntur haec: πάθος ἐστὶ, καὶ ὁ ταύτην εἰπὼν, τὸ πάθος ἐδήλωσε. Διὸ καὶ ὁ Θουκυδίδης ἐνταῦθα ὃ πρὸς τὴν νόσον ἐκήγαγε τὴν μετοχὴν, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ἤγαγε τὸ πάθος.] G.

[b] Τοπρῶτον) In Caſſel. et Aug. eſt ἀπήντησεν, quod in hoc genere vſitatius eſt. Homeri locus exſtat Odyſſ. π. v. 74.] G.

Λεγόμενον] Quae non ſolum a *Scholiaſte*, ſed ab aliis etiam annotantur de ea, quae ſubeſt huic loco, ſtructurae anacoluthia, aliter quam λεγόμενον legere hic nos vetant: nam λεγομένη cum nomine νόσος optime conueniret. STEPH. Ἡ νόσος — χωρίοις] *Corinthus*, qui λεγόμενον μὲν πρότερον omiſſa copula. *Suidas* in νόσον ἔχειν· πρὸς τὸ σημαινόμενον ἡ σύνταξις· πρᾶγμα δηλονότι. WASS. *H. Steph.* ad Corinth. princ. et Artic. XLI. nec non ad Cap. III. huius Libri probat ſententiam *Scholiaſtae*, *Thucydidem*, quum ſcripſiſſet νόσος, ſubiunxiſſe λεγόμενον, perinde quaſi praeceſſiſſet νόσημα. Non rarum eſt apud Scriptores veteres, vt ſubſtantiuo adponant adiectiuum, vel pronomen alterius generis. Vid. *Stolberg.* ad Sophocl. Aiac. p. 139. 157. et *Iac. Gronou.* ad Lucian. Gall. p. 163. vbi et e Latinis exempla adfert. Quibus add. hoc ex Edicto Aedilium l. 1. §. 1. D. de Aedil. Ed. *Item ſi quod* mancipium *capitalem fraudem admiſerit, mortis conſciſcendae ſibi cauſa quid fecerit, inue barenam depugnandi cauſa ad beſtias* intromiſſus *fuerit.* et ex *Vlpian.* in l. 31. §. 17. cod. *In factum actio competit ad pretium reciperandum, ſi* mancipium redhibitum *fuerit. — Nec de tempore quaeretur, an intra tempora* redhibitus *eſſe videatur.* In quibus credibile eſt animo ſcribentium obuerſatam fuiſſe vocem

ciuitate viri praestantissimi versantur. Iam vero, postquam vestros quique necessarios deploraueritis, abite. Bell. Pelop. an. 1. Olymp. 87. 2/3. V. C. Varr. 32 3/4. Post. Mart. 28.

47. Huiusmodi igitur funus hac hyeme factum est: hac autem exacta primus huius belli annus est absolutus. Aestate autem statim ineunte, Peloponnesii, eorumque socii cum duabus *copiarum* partibus, vt et ante, in Atticam irruperunt, (Archidamus vero Zeuxidami *filius*, Lacedaemoniorum Rex, illis praeerat,) castrisque in ea positis agrum vastabant. Cumque nondum multos dies in agro Attico mansissent, morbus Athenienses primum aggredi coepit: quanquam et ante cum in multas regiones inuasisse ferebatur, tum etiam in Lemnum, et alia loca. veruntamen neque tanta pestilentia, neque tot hominum interitus vspiam accidisse memorabatur: nec enim medici, propter *morbi* ignorantiam initio *aegrotis* mederi poterant: sed ipsi potissimum *eo* magis interibant, quo magis *ad aegrotos* accedebant; nec vlla alia hominum ars *illis opem ac salutem ferre poterat*. Omnes etiam supplicationes ad *Deorum* templa factae, et omnis opera, qua aut in oraculis sciscitandis, aut in aliis huiusmodi rebus vsi fuerant, *haec* omnia nullius erant vsus; tandemque victi magnitudine mali, haec missa fecerunt.

Πολιτεύσασι] κατὰ πολιτείαν ἐνεργῆσαν. Ἡ νόσος πρῶτον ἤρξατο] Θηλυκῶς ἡ νόσος· τὸ δὲ λεγόμενον, ὡς πρὸς τὸ νόσημα ὑπήντησεν. Ὅμηρος, Νεφέλη δέ μιν ἀμφιβέβηκε Κυανέη, τὸ μὲν οὔποτε· ὡς πρὸς τὸ νέφος ὑπήντησεν. Θεραπεύοντες ἀγνοίᾳ] εἰ γὰρ ἤδεισαν, ὅτι λοιμὸς ἦν, οὐκ ἂν ἐπεχείρουν, διὰ τὸ μεταδοτικόν. Ὅσῳ καὶ μάλιστα] μάλιστα τῶν μὴ προσιόντων. Ἀνθρωπεία τέχνη]

seruus. Locus *Homeri* apud *Scholiasten* est ex Od. π'. v. 74. vbi *Schol. paruus* τὸ interpretatur νέφος, et ait, Poëtam πρὸς τὸ συνάνυμον ἀπαντῆσαι. Vnde quomodo *Barnes.* intelligere potuerit, eum hoc, itidem vt *Suidam*, ad πρᾶγμα referre, ipse viderit. *Kusterus* ad l. d. *Suidae* recte adnotat, aliter hoc expedire *Scholiasten* Thucydidis, aliter *Suidam*. *Eustathius* ad Homer. consentit cum paruo *Schol.* et *Scholiaste* Thucydidis: ἐχρῆν μὲν γάρ, inquit, εἰπεῖν ἡ μὲν, ὁ δὲ ἄλλως ἔφη τὸ μὲν, τετέσι τὸ νέφος, ὃ ταυτὸν τῇ νεφέλῃ κατὰ πολυωνυμίαν. *Hudsonus* hic ediderat λεγόμενον καὶ μὲν πρότερον. *Scripti* et *Editi*, quos vidi, λ. μὲν καὶ π. quod reuocandum putaui. DVCK.

Λεγόμενον] Melius est Scholiasten sequi, quam cum Porto et Reiskio (Misc. Lipс. nou. V. VI. p. 511.) statuere: λεγόμενον esse absolute dictum, pro λεγομένῳ. Ante Reiskium et Portum, voluerat iam λεγόμενον, *cum dicatur*, explicari Camerarius ad Act. Apost. II, 29. p. 216. vt δέον, προσῆκον, δοκοῦν, δόξαν, μέλον. Scholiastae rationem probat, praeter Duckerum (ad h. l.), quoque Hemsterhusius ad Lucian. T. I. p. 400., et ante eum Dauis. ad Cic. de N. D. L. II, c. 44. Genus loquendi dicitur σχῆμα πρὸς τὸ σημαινόμενον. Mox ἐγκατασκῆψαι, *pestis*, *hoc malum ingruens*, *iam ante ferebatur — irruisse*. Cepit h. v. vi neutra Noster. Alias dicitur Iupiter ἐγκατασκῆψαι βέλος, vt demonstrauit Hemsterh. ad Luc. T. I. in Tim. p. 102. Sic Herod. I, 53. ἐνέσκηψεν ἡ θεὸς θήλειαν νόσον. Procop. II, B. P. p. 78. imitatus Nostrum dixit: ἐπέσκηψε δὲ τοῖς μὲν ὥρα θέρους — vi neutra, vt h. l. Adhiberi h. v. propr. de fulmine emisso, et transferri ad mala quaeuis grauiora, cum impetu in quemuis irruentia, eleganter docuit Valkenar. Praestantiss. ad Euripid. Hippol. p. 212. GOTTL.

Οὐδὲ φθορὰ ἔτως] Pro ἔτω μεγάλη, quod e τοσοῦτος intelligi potest. Abresch. in Diluc. p. 221. commode adfert simile exemplum e Xenoph. K. A. p. 560. ἦν δὲ χιὼν πολλὴ, καὶ ὄμβρος ἔτως — vbi ex πολλὴ adsumendum est: μέγα. G.

[Θεραπεύοντες ἀγνοίᾳ) Haec verba praefixi Scholio, pro ἤρξαν τοῦ πρώτου, quae Scholio non congruunt. In Aug. cod. desunt verba: διὰ τὸ μεταδοτικόν.] G.

Ἀλλ' αὐτοὶ (ἰατροὶ) ἔθνησκον] Ouid. Metam. VII, 561.

— *Inque ipsos saeua medentes*
Erumpit clades — G.

[Ὅσῳ καὶ μάλιστα) Fl. Paullinus vult, hoc caput Scholio praefigi: μάλιστα ἔθνησκον. Sed non video, quomodo Scholion capiti consentaneum sit. Caeterum deest hoc futile Schol. in Aug., vt et Scholia ad verba Αὐτῶν ἀπέσησαν et Καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο.] G.

Οὔτε ἄλλη ἀνθρωπεία τέχνη —] Similis locus est apud Liu. VII, 2. *quum vis morbi nec humanis consiliis, nec ope diuina leuaretur* — G.

[Ἐπῳδὴ) Incantatio. Plato in Charm. p. 243. ἐπῳδή δέ τις ἐπὶ τῷ φαρμάκῳ εἴη. ἣν εἰ μέν τις ἐπάδοι ἅμα καὶ χρῷτο, παντάπασιν ὑγιᾶ ποιεῖ τὸ φάρμακον· ἄνευ δὲ τῆς ἐπῳδῆς, ὐδὲν ὄφελος εἴη τῷ φύλλῳ. v. Animadu. ad Phaed. p. 43. G.

Πρὸς ἱεροῖς] Vid. *Laërt.* in Epimenide pag. 71. WASS. *Th. Magister* ita laudat, πρὸς ἱεροῖς ἱκέτευσαν, ἡ μαντείοις· atque inde egregiam obseruationem effingit, Atticos dicere πρὸς ἱεροῖς ἱκετεύω, non πρὸς ἱερέα. Strenue nugatur. Vid. *Henr. Stephan.* Append. de Dial. pag. 158. Illa, ἀνθρωπεία τέχνη ex hoc loco adfert *Pollux* II, 5. Locus *Demet. Phal.* in *Var. Lect. Hudс.* est pag. 30. Edit. Oxon. DVCK.

In templis, vt πρὸς τῷ θεῷ, in Dei templo — Atticorum est sic loqui. v. Thom. Mag. in πρὸς ἱεροῖς ἱκετεύω — p. 751. apud Thomam: πρὸς ἱερεῖς· qui error scribendi fuit librariorum, quem fustulere e codd. Hemsterhusius et Oudendorpius et reliqui Intt. Thomae. Subodoratus erat hunc errorem, librariorum, non ipsius Thomae, Abreschius (in Diluc. p. 223.). Hactenus tamen Abreschius reprehendit Thomam, quod hic neget atticum esse, ἱκετεύειν πρός τινα, prolato exemplo ex Aristide (T. I. p. 80.), οὔθ' ἱκέτευσαν (Asclepiadae) εἰς πόλιν ἐδεμίαν, i. e. *supplicatum iuerunt*, praegnanti significatione. Apparet inde, Duckeri castigationem, Thomae M. non librariis iniunctam, vanam esse. G.

Μαντείοις] Non minus placet μαντείαις. STEPH.

Τελευτῶντές τε etc.] Id est, *finientes*, pro aduerbio τελευταῖον. quod *Thucydidi*, *Aliisque* familiare. HVDS.

Ἀπέσησαν] In marg. cod. Aug. explicatur: κατεφρόνησαν. GOTTL.

μή. [f] Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ [g] Αἰγύπ[τ]ου, ἔπειτα δὲ [h] καὶ ἐς Αἴγυπ[τ]ον [i] καὶ Λιβύην κα[τ]έβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε· καὶ [k] τοπρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν, ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν [l] ἐς τὰ φρέα[τ]α. κρῆναι γὰρ ἔτω ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. λεγέτω μὲν [m] ἄν περὶ αὐτοῦ, ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης, [n] ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας [o] ἅστινας [p] νομίζει τοσαύτης με[τ]αβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ με[τ]αστῆσαι σχεῖν· [q] ἐγὼ δὲ, οἷόν τε ἐγίγνε[τ]ο, λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, [r] εἴπο[τ]ε καὶ αὖθις ἐπιπέσοι, μάλισ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

μθ'. [s] Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάν[τ]α ἀπεκρίθη. [t] τοὺς δ' ἄλλους ἀπ' [v] ἀδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν [x] τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλ-

f Ἤρξατο δὲ τὸ κακὸν ἐξ Αἰθιοπίας *Demetrius Phalereus* locum citans, p. 30. Oxon. Sed vtrum haec fuerit apud ipsum lectio *Thucydidis*, an μνημονικὸν ἀμάρτημα, dubium est. *g* Αἴγυπτον *C.* *h* Καὶ deest *Gr.* *i* Καὶ ἐς Λιβύην *Gr.* *k* Τὸ πρῶτον *Cass. Gr. Aug.* in Mosqu. deest. *l* Ἐς *Cass.* Aug. *m* Οὖν deest *Ar.* *n* De hoc loco fuse in Annot. *Hudf.* *o* Ἅστινας deest *Dau.* *p* Ita *Gr.* ex emendat. a prima manu νομίζῃ. *q* Ἐγὼ τε οἷόν τι ἐγίγνετο *Cass.* Aug. Ἐγὼ δ' οἷόν τ' ἐγίνετο, et ab emendatore ἐγίγνετο *Gr.* *r* Εἴπητε et mox ἂν ἔχει τι *Gr.* In Aug. ἂν ἔχῃ, manus recentior superscripsit ἔχοι. In ed. Bas. εἴπη τε καὶ αὖθις. Mox in Mosqu. δηλώσω καὶ et αὐτὸς deest. *s* Τὸ μὲν δὴ ἔτος ὡς ὡμολόγητο *Demetr. Phaler.* p. 37. Oxon. *t* Τοὺς δὲ ἄλλους *Ar. C.* Mosqu. *v* Οὐδὲ μιᾶς *C.* Aug. *x* Ἐκ τῆς κεφαλῆς *Reg.* In Mosqu. antea πρῶται. Mox ὑφίει.

Ἐξ Αἰθιοπίας] Lucretius (L. VI, v. 1139.)

Nam penitus veniens Aegypti e finibus ortus —

Amm. Marcell. XVIIII, 4. *Vt Thucydides exponit, clades illa, quae in Peloponnesiaci belli principiis, Athenienses acerbo genere morbi vexauit, abusque feruenti Aethiopiae plaga paullatim proserpens, Atticam occupauit.* Ceterum laudat h. v. ab ἤρξατο — vsque Αἰθιοπίας, Pseudo-Demet. de eloc. p. 28. Fisch. tanquam exemplum membri, cuius initium habeat paeonem procatarcticum, et extremum catalecticum. Intulit haec verba quoque: ἐξ Αἰθιοπίας — vsque ad πολλήν, Creperius, miscellus Thuc. imitator, suae historiae apud Lucian. T. II. quom. hist. conscribenda sit. p. 22. GOTTL.

[Τὴν βασιλέως γῆν) Praeeunte Stephano haec verba praefixi.] G.

Ἐς — τὴν Ἀθηναίων πόλιν — ἐνέπεσε] Lucret. l. c. v. 1141. *Incubuit tandem populo Pandionis* — Ouid. VII, 524. imitatus h. l. *Dira lues — populis* — Incidit — ἐνέπεσε· quae vox est propria de malis, quae incidunt. v. Burm. ad l. c. Ouidii. Plut. in Pericl. p. 66. ἡ λοιμώδης ἐνέπεσε φθορὰ — G.

Ἐσβεβλήκοιεν] Ἐμβεβλῆσθαι legisse videtur *Aretaeus* pag. 6. sed male. Noster praepositionem geminat. WASS. Verba *Aretaei* pag. 7. Edit. Turn. sunt: ὅθεν δὴ ἀπεικὸς ἐν τῷ λοιμῷ τῷ ἐν Ἀθήνῃσι, μετεξετέρους δοκέειν εἰς τὰ φρέατα ἐν τῷ Πειραιεῖ, ὑπὸ Πελοποννησίων ἐμβεβλῆσθαι φάρμακα. DVCK.

Φάρμακα ἐσβεβλήκοιεν] Ouid. Met. VII, 533. „*Conflat* ET IN FONTES VITIVM VENISSE — Hunc locum excerpsisse Aretaeum, p. 7. Turn. monuere interpretes. (v. Ducker.). Wassium vero nimis calide Aretaeum vituperare, qui legerit ἐμβεβλῆσθαι, monet Abreschius (Diluc. p. 225.). Variauit orationem Aretaeus, qui, vt solent veteres, non ipsa verba repetit. G.

Κρῆναι γὰρ etc.] *Sc.* in Piraeeo; nam supra meminit fontis Callirhoës, quae erat in Arce. Vide *Fabium Paulinum*, pag. 172. et *Meursii* Ceramicum Geminum, C. XIV. HVDS.

[Καὶ ἔθνησκον) Ex Aug. adieci Scholion ad h. v. In Cass. sequebantur verba: ἢ κατὰ τὸν Πειραιᾶ. Verba Scholii ὅσῳ ἦν — πόλις, in eodem cod. Cass. vetusta manu; priora vero recenti et atramento scripta sunt. In Aug. desunt Scholia a verbis Ἀφ' ὅτου εἰκὸς ἦν — ad Ἀπ' ἀδεμιᾶς προφάσεως.] G.

Περὶ αὐτοῦ] Sc. νοσήματος. Respicit ad superiora, fuisse, qui putarent, venenum in puteos coniectum. Hunc locum imitatus est quoque Procopius, (L. II. de B. P. c. 22.), notante Abreschio (Diluc. p. 223.). Mox ἀφ' ὅτου sc. αἰτίᾳ. Valla vertit h. l. *referatur igitur, hoc vt cognoscat quisque* — tanquam legerit: λεγέσθω et γιγνώσκῃ. Sed parum probat Vir doctus in Flor. Vin. marg. Hoc enim significat Thucydides: *dicat quisque seu medicus, seu quis alius, quae morbi causſa fuerit*, i. e. morbi causſam exponat; *at ego rem ipsam proponam et effectum ipsum: de causſa tacebo.* G.

Τοσαύτης μεταβολῆς —] n. hic annus immunis fuerat ab aliis morbis, et si quis morbo quodam laborabat, ille in istum conuertebatur (ἐς τοῦτο πάντα ἀπεκρίθη) -- G.

Ἐς τὸ μεταστῆσαι σχεῖν.] Vix mihi persuadere possum (inquit *Stepb.*) locum hunc ita scripsisse *Thucydidem*: his enim verbis contentus esse poterat, ἅς τινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι, aut certe his, ἅς τινας νομίζει τοσαύτης μεταβολῆς δύναμιν σχεῖν. quid enim his verbis ἐς τὸ μεταστῆσαι post genitiuum τῆς μεταβολῆς opus est? nam certe ipse *Scholiastes* μεταστῆσαι alio verbo, quam μεταβαλεῖν, nobis non exposuit. Verum si lectionem in textu retinere velimus, dicendum est, illud εἶναι redundare Atticorum more, vel cum *Ae. Porto*, hanc esse verborum seriem, καὶ τὰς αἰτίας τοσαύτης μεταβολῆς, ἅς τινας νομίζει ἱκανὰς εἶναι δύναμιν σχεῖν ἐς τὸ μεταστῆσαι. vel a superioribus inchoanda syntaxis et structura, hoc modo: ἀφ' ὅτου (a quo scilicet loco) εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας (supple εἰκὸς ἦν) δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν. ita vt illa ἅς τινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι parenthesi includantur. *Fab. Paulinus.* HVDS.

Δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν.] Gesnerus, et post eum Heilmanus (p. 235.) haec verba glossam habent verborum proxime superiorum. Ego non. Hac ratione plura loca, in quibus huiusmodi μακρολογίαι occurrunt, inducenda essent. Requirit ἱκανὰς εἶναι, consequentia verba: δύναμιν σχεῖν ἐς τ. μ., quae, si εἶναι non esset additum, potuissent abesse. Sed

48. Primum autem *hic morbus*, (vt fertur) initium duxit ex Aethiopia, quae eſt ſupra Aegyptum; deinde vero et in Aegyptum et Africam deſcendit, et in magnam partem regionis Regis *Perſarum:* in Athenienſium porro ciuitatem derepente incidit, ac primum *quidem* in Pyraeeo homines tentauit; ita vt ab his etiam rumor diſſeminatus fuerit, venena a Peloponneſiis in puteos deiecta fuiſſe: nondum enim fontes illic erant. Deinde vero et in ſuperiorem vrbem proceſſit, et longe plures tunc moriebantur. Pronunciet autem de eo *morbo*, vt quisque ſentit, tam artis medicae peritus, quam imperitus, vnde veriſimile videatur eum exſtitiſſe, et quas cauſas fuiſſe putet, quae tantae mutationis faciendae vim habuerint. Ego vero, et cuiusmodi fuerit, dicam; et quae ſibi quisque proponens, ſi quando rurſus etiam *hic morbus* ingruat, iam praedoctus aliquid habeat, ex quo praecipue *eum* cognoſcat, haec declarabo; tum quia ego ipſe hoc morbo laboraui, tum etiam quia alios hoc laborantes ipſe vidi. Bell. Pelop. an. 1. Olymp. 87. $\frac{2}{3}$. V. C. Varr. $32\frac{4}{5}$.

49. Nam annus ille (vt vel omnium confeſſione conſtabat) ex omnibus maxime fuit immunis ab aliis morbis. quod ſi quis et ante aliquo alio morbo laborabat, omnes *hi morbi* in iſtum conuertebantur. Alios vero ex nulla certa manifeſtaque cauſa apparente, ſed ex improuiſo, cum ſani forent, primum

εἶον μανικὴ, ἐπωδή. Αὐτῶν ἀπέσηκαν] τῶν θείων καὶ ἀνθρωπίνων. Τὴν βασιλέως γῆν] τὴν Περσίδα. Ὑπ' αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. Καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο] τὸ δεινὸν δηλονότι. Καὶ ἔθνησκον πολλῷ μᾶλλον] ὅσῳ ἦν πολυάνθρωπος ἡ ἄνω πόλις. Ἀφ' ὅτου εἰκὸς ἦν] ἀφ' ἧς αἰτίας. Ἐς τὸ μετασῆσαι] μεταβαλεῖν. Σχεῖν] λαβεῖν. Προειδὼς] προμαθών. Καὶ προέκμανέ τι] προησθένει. Ἀπεκρίθη] ἐχωρίσθη. Ἀπ' ὐδεμιᾶς προφάσεως] ἀπροφασίστως. Καὶ τὰ ἐντὸς] τὰ σώματος

omnes codd. tuentur hanc lectionem. Cum Abreſchio (in Diluc. p. 223.) probo ordinem, quem inſtituit Aem. Portus: *καὶ τὰς αἰτίας τοσ. μετ., ἃς τινας νομ. ἱκανὰς εἶναι δύναμιν σχεῖν ἐς τὸ μετασῆσαι.* In *τὰς αἰτίας* repetendum: *λεγέτω.* Verbum *μεταβολῆς* refertur ad ſequentia (c. 49. init.) *τὸ μὲν ἔτος* -- n. annum a morbis immunem, mutatum eſſe in *ἔτος νοσῶδες* et *μετασῆσαι* ad *τὸς δ' ἄλλους* -- *ἐλάμβανε*, n. reliquos incolumes, ſubito ab hoc morbo correptos fuiſſe. Ceterum putat Stephanus, v. *ἐς τὸ μετασῆσαι* ſuperflua eſſe, vel *εἶναι* abundare; ſed in eiusmodi verborum ſtructura exemplo carere arbitratur l. c. Abreſchius. Reiskius (in anim p. 21.) h. l. ſic vertebat: — *cauſſas, quas putet idoneas et pares eiusmodi mutationi efficiendae eſſe, atque vim ad exſtinguendos homines habere.* Explicatio *τῶ μετασῆσαι, moriendi* notione, quae, vt in *μεθίστασθαι*, frequens eſt; poſtponenda tamen Abreſchianae, quae non omnes mortuos eſſe innuit, vt Reiskiana, videtur. Idem Reiskius (in Dil. Abreſch. p. 225.) legi volebat: *ἱκανὰς εἶναι, καὶ δύναμιν* — GOTTL.

Δύν. ἐς τὸ μετασ. σχ.] Quidquid afferant Intt. non vindicant haec verba a ſuſpicione gloſſematis: ſi *καὶ* tamen ſit ante *δύναμιν*, magis feram; aut ſi *σχεῖν* pendeat ab *ἱκανὰς εἶναι*, frigide tamen ſatis et verboſe. Sed maxime incommodum eſt verbum *μετασῆσαι*, quod, cum ſignificare nil poſſit h. l. aut ex Graeco vſu loquendi, niſi *mutare*, mutationem inducere, manifeſto idem eſt cum voc. *μεταβολῆς*, quod hic notat morbum repente coortum. Si gloſſema non eſt, eſt inſignis periſſologia, ordine quodammodo mollienda vel temperanda: *αἰτίας τοιαύτης μεταβ. ἃς οἴεται εἶναι ἱκανὰς σχεῖν δύν. ἐς τὸ μετασ.* Sane et c. 49. eſt talis periſſologia, tolerabilior illa tamen, *ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας.* BAVER.

Μᾶλις' ἂν ἔχοι τι προειδὼς —] Reiskius (in anim. p. l.) malit *τι* delendum, vt natum e proximo *προειδὼς*. Sine cauſſa. Suppleatur modo *αὐτὸ*, cum interprete: *μὴ ἀγνοεῖν (αὐτὸ) προειδώς τι* — Pro *ἐπιπέσοι* ante *μάλιστα*, in marg. Ald. Vinar. ſcriptum: *ἐμπέσοι.* G.

Τὸ μὲν γὰρ — *ἔν.*] *Demetr. Phaler.* Ὁ Θυκυδίδης πανταχῶ *σχεδὸν φεύγει τὸ λεῖον καὶ ὁμαλὲς τῆς συνθέσεως, καὶ ἀεὶ μᾶλλόν τι προσκρούοντι ἔοικεν, ὥσπερ οἱ τὰς τραχείας ὁδὸς ποιευόμενοι* etc. vbi *τὸ μὲν δὴ*, et *ὡμολόγητο.* §. 48. Confer *Cantacuzenum* p. 730. WASS. Addit *Demetrius*, alium potius et ſuauius fuiſſe dicturum, *ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ὃν ἐτύγχανεν*: ſed ita *τὴν μεγαλοπρέπειαν* ſublaturum fuiſſe. Praeterit etiam illa, *ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο. Ἔτος ἄνοσον* ex hoc loco habet *Pollux* III, 107. quod *Stephanus* in Append. ad ſcript. de Dialect. inter vocabula et loquendi genera Thucydidi peculiaria, vel cum paucis communia, habendum putat. DV.

Τὸ — *ἔτος* — *ἄνοσον*] *Annus morbis non obnoxius* — Meminit huius loci Pollux III, 107., additque, pro *ἄνοσον* dixiſſe Sophoclem *ἀνόσητον.* G.

Ἐς τοῦτο ἀπεκρίθη —] i. e. *ſi quis ante morbo aliquo laborauerat, omnia in hunc morbum conceſſerunt.* Innuit Noſter, omnes morbos in peſtilentiam depoſitos, in eamque feceſſiſſe, excretos et expurgatos fuiſſe. v. Foeſ. Oec. Hippocr. p. 74. f. Paullo poſt: *ὃ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα.* c. 51. es endigten ſich mit dieſer Seuche alle Krankheiten. Suidas: *ἀπεκρίθη, ἀφωρίσθη*, quae gloſſa huc pertinet. cf. L. I, 3. G.

Ἀπεκρίθη] Idem eſt cum altero, quod ſequitur, *ἐτελεύτα*, exitum eo habuit, mutatum eſt, abiit in illum morbum. Schol. *ἀπεκρίθη* expl. *ἐχωρίσθη*; minus bene; niſi medice dictum de ſecretione et quaſi abceſſione, vt omnis humor malignus eo abiret ac diſcederet. BAVER.

Προφάσεως] Ita loquitur *Hippocrates* Progn. p. 150. et *Pſeudo-Diocles* Epiſt. *ὐδὲ μιᾶς Ar. C.* Diſſolutione Attica, vt alibi. WASS.

Ἀπ' ὐδεμ. προφάσ.] i. e. cum nulla alia cauſſa aperta eſſet antegreſſa. *ἀπὸ* hic eſt partim *poſt*, partim *per*: et *πρόφασις* eſt cauſa vera, intima, quae tamen oſtendat, aliquid ſubeſſe et ſecuturum eſſe, et hic duci poſſit a verbo *προφαίνειν.* BA.

[*Ἀπ' ὐδεμιᾶς προφάσεως*) Ita correximus cum Abreſch. Diluc. p. 228. pro *ἀλλ' ἐξαίφνης.*] G.

Θέρμαι ἰσχυραὶ] i. e. *πυρετὸς*, vt Tim. Lex. voc. Plat. p. 101. explicat. *Τὸ θέρμα* pro febri ex Ariſtoph. citat Pollux

μῶν ἐρυθήμα]α καὶ φλέγωσις ἐλάμβανε. καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς [y] αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπει]α, ἐξ αὐ]ῶν π]αρμὸς καὶ βράγχος [z] ἐπεγίγνετο. καὶ ἐν ὰ πολλῷ χρόνῳ κατέβαινεν [a] ἐς τὰ σήθη ὁ πόνος, με]ὰ βηχὸς ἰσχυρῆ· [b] καὶ ὁπό]ε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς [c] πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπῆσαν, καὶ [d] αὗται με]ὰ ταλαιπωρίας μεγάλης. λύγξ τε τοῖς πλείοσιν [e] ἐνέπιπ]ε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν, τοῖς μὲν [f] μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ [g] καὶ πολλῷ ὕστερον. καὶ τὸ μὲν ἔξωθεν [h] ἁπ]ομένῳ σῶμα, [i] οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, πελιδνὸν, φλυκ]αίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς ὥτως [k] ἐκαίετο, ὥ]ε μήτε τῶν πάνυ λεπ]ῶν ἱματίων [l] καὶ [m] σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι ἢ [n] γυμνὸν ἀνέχεσθαι, ἥδι]ά [o] τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτὰς ῥίπ]ειν.

τοῦτο τὸ μέρος ἀσθένειαν τοῦ τείχους, ἀφορμὴν παρέξειν τοῖς Λακεδαιμονίοις, ὥστε ἐπὶ τὸ αὐτὸ ὁρμῆσαι. περιττὸν δὲ τὸ προθυμήσεσθαι. ἤρκει γὰρ τὸ ἐπισπάσασθαι. ἔνιοι δὲ, ἐφελκύσασθαι αὐτοὺς ἡγεῖτο εἰς προθυμίαν ἐκεῖνο τὸ μέρος. Οὔτε γὰρ αὐτοὶ] οἱ περὶ τὸν Δημοσθένην. Ἐλπίζοντες ποτὲ ναυσὶ κρατήσεσθαι] οἱ Ἀθηναῖοι οὐκ ἰσχυρῶς τὸ πρὸς θάλασσαν ἐτείχισαν τὴν Πύλον, οὐχ ἡγούμενοι ἐντεῦθεν ἐπιθήσεσθαι τοὺς ἐναντίους, ἅτε δὴ θαλαττοκρατούντων Ἀθηναίων. Ἐκείνοις τε βιαζομένοις] βιαίως ποιοῦσιν. Ἁλώσιμον τὸ χωρίον γίγνεσθαι] ἐλπὶς ἦν δηλονότι. Χωρίσας] τοὺς ὁπλίτας δηλονότι. Ἄνδρες οἱ ξυναράμενοι] δημηγορία Δημοσθένους, τὸ προοίμιον ἐκ προσοχῆς. εἴρηται δὲ τῷ δυνατῷ μόνῳ. Οἱ ξυναράμενοι] οἱ συνεφαψάμενοι. Τοῦδε τοῦ κινδύνου] τὸ μὲν, τοῦδε τοῦ κινδύνου, ἀντὶ τοῦ τόνδε τὸν κίνδυνον· ἡ δὲ διάνοια, ἀντὶ τοῦ, μηδεὶς ἐν τοιούτῳ κινδύνῳ γενόμενος ὀξεῖ τε καὶ ἀναγκαίῳ, συνετὸς βουλέσθω δοκεῖν εἶναι, καὶ ἐξαριθμείτω τὰ περιεστηκότα δεινὰ, ἀλλὰ τοῖς ἐναντίοις θαρσαλέως ἀντιταττέσθω, καταφρονήσας τοῦ περιεστηκότος κινδύνου. μᾶλλον γὰρ ὁ τοιοῦτος κρατήσει τῶν πολεμίων. Ἐν τῇ τοιᾷδε ἀνάγκῃ] ἐν τῇ παρεστώσῃ. Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται] τοῦτο ἐξηγητικόν ἐστι τοῦ προτέρου. οἱ γὰρ ἀναγκαίως περιεστῶτες κίνδυνοι οὐ διαλογισμοῦ χρῄζουσιν ἀκριβοῦς, ἀλλὰ τοῦ διακινδυνεύειν ἀόκνως, καὶ ἀμελετήτως. τὸ δὲ ἥκιστα, οὐκ ἐπὶ τοῦ ἧττον, ἀλλ' ἐπὶ τοῦ οὐδ' ὅλως κεῖται. Ἐς ἀνάγκην ἀφῖκται] ἤγουν, ἀναγκαῖά εἰσι καὶ βίαια. Ὥσπερ τάδε] τὰ περιεστῶτα. Πρὸς ἡμῶν ὄντα] πρὸς ἡμῶν, καὶ ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα. Καὶ μὴ τῷ πλήθει αὐτῶν] τῶν ἐναντίων δηλονότι. Τὰ ὑπάρχοντα ἡμῖν] τὰ παρόντα ἡμῖν πλεονεκτήματα. Ἡμέτερον νομίζω] εἰς ἡμετέραν βοήθειαν. Ὑποχωρήσασι δὲ] ὑποχωρησάντων δὲ, καίπερ δυσέμβατον ὄν, εὐεπίβατον γενήσεται τοῖς Λακεδαιμονίοις. Καίπερ χαλεπὸν ὄν] εἰς ἐπίβασιν δηλονότι. Εὔπορον ἔσται] εὐεπίβατον. Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν] ἡ διάνοια τοιαύτη, οἱ πολέμιοι (φησὶν) ὑποχωρησάντων ἡμῶν, ἀποβάντες τῶν νεῶν, καὶ ἐπελθόντες τῷ τείχει, χαλεπώτεροι ἡμῖν ἔσονται. εἰδότες γὰρ, ὅτι, ἂν μὴ κρατήσωσιν, οὐ ῥᾳδίως ἀποχωρῆσαι δυνήσονται ὀπίσω, διὰ τὴν χαλεπότητα τοῦ χωρίου, μετὰ ἀπονοίας ἡμῖν μαχοῦνται. ἢ ἀπολέσθαι ζητοῦντες, ἢ κρατῆσαι τοῦ χωρίου. ῥᾷστον γὰρ (φησὶν) ἐστὶν ἔτι αὐτοὺς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνασθαι. Ἀποβάντες δὲ] ἀποβάντες δὲ (φησὶ) τῶν νεῶν, ἴσοι γίνονται ἡμῖν. κατασκευάζει δὲ διὰ τούτου, ὅτι οὐδ' ὅλως δεῖ αὐτοῖς συγχωρῆσαι κατελθεῖν εἰς τὴν γῆν. Ἐν τῷ ἴσῳ ἤδη τότε] ἀπὸ κοινοῦ, ἡμῖν ἔσονται ἴσοι εἰς τὸν πόλεμον, διὰ τὸ ἀπορεῖν, πῦ χρὴ ἐξορμηθῆναι μετὰ ἀσφαλείας, διὰ τὸ δυσέμβατον. Καὶ οὐκ ἐν γῇ στρατός ἐστι] καὶ μείζων μέν ἐστιν ὁ στρατὸς αὐτῶν, ἀλλ' οὐκ ἀπὸ γῆς ὁρμώμενος, οὐδὲ ἐν γῇ παρατατόμενος, καὶ ἀπὸ τοῦ κλυδωνίου, καὶ ἀπὸ τῶν ἀνέμων, καὶ ἐξ ἄλλων πολλῶν. Αἷς πολλὰ τὰ καιρία] αἷς τισι πολλῶν χρεία τῶν ἐπιτηδείων, οἷον εἰπεῖν, ἀνέμου, καὶ χωρίων φιλανθρώπων, καὶ εἰρεσίας εὐκαίρου, ἵνα δυνηθῶσιν ἀντιταχθῆναι τοῖς ἐν γῇ. Δεῖ ἐν τῇ θαλάσσῃ] τὸ δεῖ ἀντὶ τοῦ εἴωθεν. Ὥστε τὰς τούτων ἀπορίας] ὡς ἂν εἰ ἔλεγεν, ἐπεὶ πλείονες ἡμῶν εἰσιν, ἡμεῖς δὲ, ἐλάχιστοι, ὥσπερ ἐξισοῖ τὸ πλῆθος πρὸς τὸ ἡμέτερον, τὸ πολὺ τῆς ἀπορίας, ἣν ἔχουσι.

Armee vor uns, welche uns (freylich) in gleichem Felde, zu Lande, überlegen wäre, rel. In Schol. hac p. ad Καὶ οὐκ ἐν rel. pro καὶ ἀπὸ κλυδωνίου, legendum videtur, ἀλλ' ἀπὸ κλυδ. quia praec. οὐκ ἐν γῇ. BAVER.

βῆναι. ὥστε τὰς τότων ἀπορίας ἀντιπάλως ἡγῆμαι τῷ ἡμετέρῳ πλήθει· καὶ ἅμα ἀξιῶ [h] ὑμᾶς, Ἀθηναίους ὄντας, καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλως ἀπόβασιν (ὅτι, εἴτις ὑπομένοι, καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωρεῖν, οὐκ ἂν ποτε βιάζοιτο,) καὶ αὐτοὺς νῦν μεῖναί τε, καὶ ἀμυνομένους [i] παρ' αὐτὴν τὴν ῥαχίαν, [k] σώζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

ιά. Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου, οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. οἱ δὲ Λακεδαιμόνιοι, ἄραντες, τῷ τε καλὰ γῆν στρατῷ [l] προσέβαλλον τῷ τειχίσματι, καὶ ταῖς ναυσὶν ἅμα, ἔσαις τεσσαράκοντα καὶ τρισί. ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης. προσέβαλλε δὲ, ἦπερ ὁ Δημοσθένης προσεδέχετο. καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, [m] ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο. οἱ δὲ, κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι [n] προσχεῖν, καὶ ἀναπαύοντες, ἐν τῷ μέρει τὰς ἐπίπλους ἐποιοῦντο, προθυμία [o] τε πάσῃ χρώμενοι καὶ [p] παρακελευσμῷ, εἴπως [q] ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. πάντων δὲ Φανερώτατος [r] ὁ Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ, καὶ ὁρῶν, τῇ χωρίᾳ χαλεπῇ ὄντος, τοὺς τριηράρχους καὶ κυβερνήτας, [s] εἴπερ καὶ δοκοίη [t] δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας, καὶ φυλασσομένους τῶν νεῶν, μὴ [v] ξυντρίψωσιν, ἐβόα, λέγων, [x] ὡς οὐκ εἰκὸς εἴη, ξύλων φειδομένους, τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιιδεῖν τεῖχος [y] πεποιημένους· ἀλλὰ τάς τε σφετέρας ναῦς, βιαζομένους τὴν ἀπόβασιν, [z] καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι, ἀντὶ μεγάλων εὐεργεσιῶν, τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι [a] ἐπιδοῦναι· ὀκείλαντας δὲ, καὶ παντὶ τρόπῳ ἀποβάντας, τῶν τε ἀνδρῶν καὶ τῆς χωρίας κρατῆσαι.

ιβ. Καὶ ὁ μὲν τάς τε ἄλλως τοιαῦτα ἐπέσπερχε, καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν, ἐχώρει ἐπὶ τὴν [b] ἀποβάθραν. καὶ πειρώμενος ἀποβαίνειν, ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων· καὶ τραυματισθεὶς πολλὰ, [c] ἐλειποψύχησέ τε, [d] καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν, ἡ ἀσπὶς [e] περιῤῥύη

b Ἡμᾶς *Gr.* *i* Παρὰ αὐτὴν *Gr.* *k* Καὶ σώζειν *Ar. C. Dan.* *l* Προσέβαλον, et paulo infra προσέβαλλε *Ar. C.* Προσέβαλον hic quoque Mosqu. *Reg. Dan. Gr.* infra προσέβαλλε tantum *Gr.* *m* Ἔκ τε τῆς γῆς *Gr.* Ἐκ τῆς γῆς *Dan.* Καὶ θαλάσσ. Mosqu. et ἠμύνοντο. *n* Προσσχεῖν hic et alibi scribendum esse censet *Ae. Port.* vt distinguatur a προσχεῖν, effundere. *Hudf.* *o* Δὲ *Gr.* *p* Παρασκευασμῷ *Dan.* *q* Παρωσάμενοι *Ar. C. Dan.* *r* Ὁ deest *Ar. C. Cl. Gr Reg. Caff.* Aug. Mox τριηραρχῶν δὲ, et cum superscripta rec. manus emendatione γὰρ *Reg.* *s* Εἴπη *Cl.* Εἴπῃ *Caff.* *t* Χαλεπὸν *Reg.* *v* Συντρίψωσιν *Reg.* Mosqu. *x* Ὡς οὐκ εἴη εἰκὸς *Gr.* *y* Ποιουμένους *C.* *z* Καταγνύναι *Reg. Dan. Gr.* et ἐκέλευεν *Gr.* Aug. ἐκέλευσε Mosqu. *a* Ἀποδοῦναι *Dan.* *b* Ἀποβάθρα est pons, quo nauis conscen litur, et ex ea in terram descenditur. *Hudf.* *c* Ἐλειποθύμησέ τε *Ar.* Ἐλιποθύμησε *C.* Ἐλειποθύμησε *Dan.* Ἐλειποψύχησε *Gr.* *d* Vide *Demetrium Phalereum* περὶ Ἑρμηνείας p. 47. *Ed. Oxon.* et *Dionys. Halicarn.* περὶ τῶν Θουκυδίδου ἰδιωμάτων p. 134. *Ed. Francof. Hudf.* *e* Περιῤῥύη *Ar.* Ἀπεῤῥύη *C.*

Πλήθει] Ἐπ' ὀλίγων *Suidas* h. v. *Euripides* πλῆθος ὀλίγον. *Hesych.* τῷ πλήθει ἡνιόχων, δίδυμοι γὰρ ἦσαν οἱ ἡνιοχεύοντες. Vox est relatiua, vt bene ad Aphor. II, 17. obseruat *Galenus*: πλῆθος τὸ κατὰ τὸ ἔγχυμα, aut πρὸς ἀγγεῖα. WASS.

Ῥοθίῳ] *Harpocrat.* παρὰ τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον ῥόθον, ὅταν σφοδρῶς ἐλαύνωσιν. vti *Hyperides*, *Ariſtophanes*, *Arrianus* VI. ῥοθίῳ νηὶ naui irruenti Anthol. apud *Homerum* fere ἐπιθετικῶς. Confer *Suidam*. Audi *Apollonium*:

— — — — — πέτλην ἐρετμοῖς
Πόντῳ λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο.
Ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη,
Δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
— — μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
Ἀτρεκὲς ὡς χλοεροῖο διειδομένη πεδίοιο.

vid. II, 1111. et I, 370. et *Schol.* Aeſchyli Ed. Steph. pag. 87. WASS. *Scholiaſtae* Aeſchyli ad hoc in Prometh. v. 1047. Κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειε, exponunt ἐν τραχεῖ, et ἐν σφοδρῷ ῥεύματι. *Euſtath.* in Homer. Odyſſ. ε. p. 1540. Οἱ μεθ' Ὅμηρον τὸ ῥεῦμα ἤτοι καλῆς. *Schol.* Apollon. II, p. 1111. Ῥόδιον, τὸ κῦμα. *Heſychius*: Ῥόθιον, ῥεῦμα, κῦμα, τὸ μετὰ ψόφου γινόμενον. *Schol.* Arati Phaenom. pag. 53. Ed. Oxon. Ῥόθια, τὰ ῥεύματα. κυρίως δὲ αἱ τῶ κλύδωνος ὁρμαί. Et ita hic accipiunt *Interpretes*. Locus *Apollonii* in nota Cl. *Waſſe* eſt I, 540. DVCK.

Ῥαχίαν] Ita *Mſſ.* et *Suidas*. *Herodotus* τὴν πλημμύραν pag. 319. ῥαχίην vocat. vid. *Galenum* in Lex. et *Foeſium*. de terra vtitur *D. Halicarn.* WASS. Cap. 9. haec dixerat χωρία χαλεπὰ, καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα. *Schol.* Aeſchyli Prometh. v. 712. ῥαχίαις, θαλασσίοις πέτραις. *Scholiaſtes* Morelli in Dion. Chryſoſtomi Orat. VII. Ῥαχία, ὁ τραχὺς καὶ λιθώδης αἰγιαλός· καὶ ἴσως ἀπὸ τοῦ ἐκεῖσε τὸ προσκλύζον κῦμα οἱονεὶ ἐῤῥηγυσθαι. Add. *Euſtath.* ad Homer. Odyſſ. ε. p. 1540. Reſpicit huc *Plutarch.* de Glor. Athenienſ. pag. 618. Ὁ παρὰ τὴν ῥαχίαν αὐτῆς τῆς Πόλεως παρατάττων τοὺς Ἀθηναίους Δημοσθένης. DVCK.

Παρ' αὐτὴν] *Thomas Mag.* in παρὰ e memoria, vel vitio ſcribarum, ἐτάξαντο παρὰ τὴν θάλασσαν. DVCK.

Ἔκ τε γῆς] Ἔκ τε τῆς γῆς recte *Gr.* Articulum infra p. 554. poſt init. negligit *Thucydides*. WASS.

Προθυμίᾳ — παρακελευσμῷ] *T. Mag.* in παρακέλευσις. DVCK.

Ὁ Βρασίδας] Plerique *Mſſ.* omittunt articulum ὁ; nec adhibet *Diodorus* pag. 318. Conter *Plutarchum* de Gloria Athenienſium pag. 347. vbi in verſu *Homeri* ex *Alc.* et *Baſ.* pro λέγειν ſcribendum eſt λέγων, et *Taciturn* Chil. XII, 389. WASS.

tes istorum nostri *paucitati* pares esse duco. Insuper et vos obsecro, qui Athenienses estis, et qui experientia nauticum in alios exscensum nouistis (quod siquis hostium impetum fortiter sustineat, nec graui fluctuum illisorum strepitu et minaci nauium incurrentium impetu territus recedat, *is* nunquam per vim summoueri possit,) vt et nunc persistatis, et arcentes hostem ad ipsum littoris salebrosi dorsum, et nos ipsos et locum conseruetis." Bell. Pelop. an. 7. Olymp. 88. 3. V. C. Varr. 329.

11. Cum autem Demosthenes his tantum Athenienses adhortatus fuisset, illi maiorem fiduciam animo conceperunt, et cum ad ipsum mare descendissent, ibi se ad hostes propulsandum acie instructa pararunt. Lacedaemonii vero, motis castris, terrestri exercitu nauibusque XLIII. munitiones aggressi sunt. Illorum autem classis praefectus erat Thrasymelidas Cratesiclis *filius*, Spartanus. Easque ab ea parte inuasit, qua Demosthenes *illos venturos* sperabat. Athenienses vero et ipsi vtrinque a terra et a mari hostem propulsabant. Illi vero classem partiti, cum exiguo nauium numero, quod cum maiore ad littus appellere non possent, et *caeteras naues interea* quiescere iubentes, per vices impetum faciebant, omnique animi contentione et adhortatione vtentes, si quo modo reiectis *hostibus* munitionem capere possent. Brasidas autem omnium maxime conspicuus exstitit. cum enim esset vnus e trierarchis, et videret propter loci et accessus difficultatem trierarchos et gubernatores, si quam etiam ad partem accedi posse videbatur, formidantes, et cauentes, ne naues confringerent, vociferabatur, dicens non decere ipsos, dum lignis parcunt, munitionem in *suo* agro ab hostibus exstructam pati. quinimo iubebat ipsos ex nauibus in littus per vim exscendere, nauesque confringere; et socios *hortabatur*, ne pro magnis beneficiis, *quae acceperant*, suas naues in praesentia Lacedaemoniis largiri dubitarent: sed nauibus *in littus* impactis, et quauis ratione exscensu ex illis in terram facto, et viros et locum in suam potestatem redigerent.

12. Atque ipse quidem his verbis alios instigabat, et cum suum gubernatorem nauem *in littus* impingere coëgisset, ad nauis pontem perrexit. et descendere conatus, ab Athenienfibus est reiectus; multisque vulneribus sauciatus, animi deliquium passus est, eoque collapso in illud spatium, quod est

Τῷ ὑμετέρῳ πλήθει] ἔξεστι λέγειν πλῆθος καὶ ἐπὶ ὀλίγων. Ὅμηρος· Πλήθει τε σφετέρῳ, καὶ ὑπερθέα δῆμον ἔχοντες. Ἀθηναίους ὄντας] ἅσπερ δι᾽ τῆς προσηγορίας ἐνέφηνεν αὐτῶν τὸ ἀξίωμα τῆς κατὰ θάλασσαν ἐπιστήμης. Ἐπ᾽ ἄλλας ἀποβάσεις] τὴν κατ᾽ ἄλλων ἀπόβασιν εἰδότας, τὸ, ἐάν τις καρτερήσας, προσδέχηται θαρρῶν, καὶ μὴ φύγῃ καταπλαγεὶς τῷ φόβῳ τῆς δεινότητος τῶ κατάπλου, πάντα κατορθοῦ. ῥᾴθιον δέ ἐστιν ὁ ἠχος τῆς εἰρεσίας. Παρ᾽ αὐτὴν τὴν ῥαχίαν] ῥαχίαι ἐσὶ πετρώδης τόποι, περὶ ὃν περιῤῥήγνυνται ἡ θάλασσα, καὶ ὁ κλύδων, καὶ ἡ τῆς θαλάσσης ὁρμή. ὅθεν τὸ νώτιον ὀπωδες, ῥάχις καλεῖται, ὡς ἀπὸ τῆς ῥαχίας τῆς πέτρας. Ἐτάξαντο] ἀντὶ τῦ παρετάξαντο, ἢ ἐτάχθησαν, καὶ ἡσυχίσθησαν. Καὶ ταῖς ναυσὶν ἅμα] ἢ ταῖς τῶν πολεμίων, ἀλλὰ ταῖς ἑαυτῶν. Ὥσπερ ὁ Δημοσθένης προσεδέχετο] κατὰ τὸ μέρος τὸ νεῦον ἐπὶ τὸ πετρῶδες, ὅπερ καὶ προσεδόκα ὁ Δημοσθένης. Διότι ὐκ ἦν πλείοσι προσχεῖν] ἐπειδὴ ἢ δυνατὸν ἦν πλείοσι προσορμίσασθαι, διὰ τὸ πετρῶδες, διὰ τῦτο ὀλίγαις ὥρμησαν ναυσὶν, ἢ τὰς ναῦς ἀναπαύοντες, ἢ αὐτοὶ ἀναπαυόμενοι. Καὶ παρακελευσμῷ] παραινήσει. Εἴπως ὠσάμενοι] τοὺς ἐναντίους δηλονότι. Πάντων δὲ φανερώτατος] σπεδαιότατος καὶ ἐπίδηλος ὑπὲρ πάντας ὁ Βρασίδας ἐγένετο ἐν ἐκείνῳ τῷ ἔργῳ εἰς προθυμίαν· καὶ ὁρῶν τοὺς τριηράρχους ὀκνοῦντας διὰ τὸ χαλεπὸν τὸ χωρίε, περὶ τῶν νεῶν φυλακσομένους, ὅπως μὴ συντρίψωσιν αὐτάς. Δυνατὸν εἶναι σχεῖν] προσχεῖν. Τῶν νεῶν] ἤγουν, τινὰς τῶν νεῶν. Βιαζόμενος] σὺ. βίᾳ ποιῶντας. Ἀντὶ μεγάλων εὐεργεσιῶν] ἐνταῦθα τιμῶν λέγει, ἃν μέλλησιν ὕστερον εὐεργετηθῆναι αὐτοὶ οἱ σύμμαχοι, καὶ τιμηθῆναι. Ἢ εὐεργεσιῶν, ἂν αὐτοὺς εὐεργέτησαν ἤδη οἱ Λακεδαιμόνιοι. Ὀκειλάντας δὲ] πρισπελάσαντας, καὶ προσεγγίσαντας. Ἐπέσπερχεν] ἐπεστήριζεν. Ὀκείλαι τὴν ναῦν] προσοκεῖλαι, ἐλλιμενίσαι. Ἐπὶ τὴν ἀποβάθραν] ἡ ἀπὸ τῶν νεῶν ἐπὶ τὴν γῆν ὁδὸς, ἀποβάθρα καλεῖται. Ἐς τὴν παρεξειρεσίαν] παρεξειρεσία ἐστὶν ὁ ἔξω τῆς

Φυλασσ. τ. νεῶν] Sc. περὶ, qua naues, de nauibus; μὴ ξυντρίψωσιν, scil. αὐτάς. Vel pro, φυλακὴν ποιούμενοι. BAVER.

Reisk. putat, post ξυντρίψωσιν excidisse voces ἔστιν ἃς. GOTTL.

Λέγων] Alia dixisse narrat *Diodor.* 318. b. et ἐπιβάθραν maluit. WASS.

Ἀποβάθραν] Vid. *Poll.* I, 93. et ibi *Interpretes.* Ἀποβάθραν dicit *Lucian.* Dial. mort. pag. 278. et ἀναβάθραν ibid. pag. 281. Ἐπιβάθραν *Diodorus Sicul.* cum in hac historia, tum alibi. Βάθραν *Plutarch.* l. d. Vid. *Leopard.* XIV. Emendat. 10. DVCK.

Ἀποβάθραν] v. Glossar. GOTTL.

Ἐλειποψύχησε] Confer Schol. *Aristoph.* in Equit. 55. Locum sic adducit *Demetrius* §. 55. Καὶ πρῶτος ἀναβαίνων ἐπὶ τὴν

[f] εἰς τὴν θάλασσαν. καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν, οἱ Ἀθηναῖοι ἀνελόμενοι, ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο, ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. [g] οἱ δ' ἄλλοι πρόθυμοὶ μὲν, ἀδύνατοι δ' ἦσαν ἀποβῆναι, τῶν τε χωρίων χαλεπότητι, καὶ τῶν Ἀθηναίων μενόντων, καὶ οὐδὲν ὑποχωρόντων. [h] ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥστε Ἀθηναίους [i] μὲν ἐκ γῆς τε, καὶ ταύτης Λακωνικῆς, ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ, ἐκ νεῶν τε καὶ εἰς τὴν ἑαυτῶν, πολεμίαν ὖσαν, ἐπ' Ἀθηναίους ἀποβαίνειν. [k] ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε, τοῖς μὲν, ἠπειρῶταις μάλιστα εἶναι, καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ, θαλασσίοις τε, καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

ιγ'. Ταύτην μὲν δὴ τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι προσβολὰς ποιησάμενοι, ἐπέπαυντο. καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρεπεμψαν τῶν νεῶν τινας ἐς Ασίνην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν [l] ἔχειν, ἀποβάσεως δὲ μάλιστα ἔσης, ἑλεῖν μηχαναῖς. ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται [m] τεσσαράκοντα. προσεβοήθησαν γὰρ τῶν τε Φηρικίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου, καὶ Χῖαι τέσσαρες. ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων, τήν τε ἴσην, ἔν τε [n] τῷ λιμένι ὅσας τὰς ναῦς, καὶ ἐκ ἐκπλεούσας, ἀπορήσαντες, [o] ὅπη καθορμίσωνται, τότε μὲν ἐς [p] Πρώτην τὴν νῆσον, ἣ ἀπὸ πολὺ ἀπέχει, ἔρημος ὖσα, ἔπλευσαν, καὶ νυλίσαντο· [q] τῇ δ' ὑστεραίᾳ παρα-

[f] Ἐς τὴν θάλ. *Reg. Caſſ.* Aug ἐπὶ Mosqu. [g] οἱ δὲ ἄλλοι *Gr.* Antea Mosqu. def. *Ιχρίσ.* ὃ, ſed ſpatio reliſto, tribus notis poſitis ~ ~ ~. [h] Ἐς τοῦτο τότε περ. *Reg.* [i] Μὲν omittit *Gr* [k] Ἐπιπολὺ γὰρ ἐτήσι *Marg. Ar.* Sed hic verborum ſenſus: ἐν τῷ τότε χρόνῳ μεγίστη τῆς δόξης ἐπίδοσις ἀμφοτέροις ἐτύγχανε, ὅτι ἠπειρῶται, καὶ τὰ πεζὰ κράτιστοι γενέσθαι ἐδόκουν ἐν τῇ κατὰ τῶν Λακεδαιμονίων μάχῃ· τοῖς δὲ Λακεδαιμονίοις, ὅτι θαλάσσιοι, καὶ ταῖς ναυσὶν πλεῖστα προῖχεν ἐν τῇ κατὰ τῶν Ἀθηναίων μάχῃ ἐδόκει. Vel ſic: ἐν τῷ τότε χρόνῳ μεγίστην ἀμφοτέροι τῆς δόξης ἐπίδοσιν ἐποιήσαντο. καὶ γὰρ οἱ μὲν Ἀθηναῖοι ἐν τῷ τότε μάχῃ κατὰ τῶν Λακεδαιμονίων συνεφθείρη, ὄντες θαλάσσιοι, καὶ τὰ ναυτικὰ κράτιστοι, ὅμως ἠπειρῶται μάλιστα, καὶ τὰ πεζὰ κράτιστοι γενέσθαι ἐφάνησαν. πάλιν δὲ, οἱ Λακεδαιμόνιοι, εἴπερ ἠπειρῶται μάλιστα, καὶ τὰ πεζὰ κράτιστοι ἐνομίζοντο, θαλάσσιοι, καὶ ταῖς ναυσὶ πλεῖστον προῖχειν ἐφάνησαν. *Ae. Port.* Vide etiam *Annott. Hud.* Ἐπιπολὺ etiam *Caſſ. Gr.* Aug. [l] Ἔχειν legiſſe videtur *Valla.* [m] Πεντήκοντα *Cl.* Παραγίνονται τεσσ. *Reg.* [n] Τῷ deeſt *Ar. C. Dan.* [o] Ὅπῃ *Caſſ.* Aug. Ὅποι Mosqu. qui et, ἀποβήσ. et καθορμίσονται. [p] Πρωτὴν Aug. Πρωτὴ, ἐξυτένως, νῆσος etc. *Stepb.* περὶ πόλεων. Vide *Annott. Πρώτην Cl.* in marg. [q] Τῇ δὲ ὑσ. *Gr.*

ἀποβάθραν, ἐλειποψ. Sed aliter *Mſſ.* recte. *Dion. Halic.* II, 134. εἰς τὴν παρεξ. *Herodotus* VII, 229. Ἀριστόδημον λειποψυχέοντα λειφθῆναι. vbi pro μέγιστον vel inuito *Mediceo* legendum ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον. WASS. Vulgatam lectionem ἐλειποψύχησε confirmant *Pollux* III, 106. *Demetrius Phaler. Plutarchus* et *Diodorus.* De παρεξειρεσίᾳ rurſus *Scholiaſtes* ad VII, 34. quo reſpexit *Pollux* I, 124. *Suidas* et *Heſychius*, apud quem eſt παρεξειρέσιον. DUCK.

Οἱ δ' ἄλλοι πρόθυμ.] Locum hunc reſpicit *Plutarchus* in libello *de Gloria Athen.* vbi *Thucydidem* illuſtri cohoneſtauit elogio. Vide Iudicia Autorum de *Thucydide* huic Editioni praefixa. HUDS.

Περιέστη] Huc ſpectat *Diodorus* XII. p. 318. Θαυμάσαι δ' ἄν τις τῆς τύχης τὸ παράδοξον, καὶ τὴν ἰδιότητα τῆς περὶ τὴν Πύλον διαθέσεως. Ἀθηναῖοι μὲν γὰρ ἐκ τῆς Λακωνικῆς ἀμυνόμενοι τὰς Σπαρτιάτας, ἐφάτνον. Λακεδαιμόνιοι δὲ τὴν ἰδίαν χώραν ἔχοντες, ἐκ τῆς θαλάττης προσέβαλον τοῖς πολεμίοις· καὶ τοῖς μὲν πεζῇ κρατῆσαι θαλαττοκρατεῖν συνέβαινε, τοῖς δὲ κατὰ θάλατταν πρωτεύουσι, τῆς γῆς ἀπείργειν τὰς πυλεμίας. WASS.

Ἐκ νεῶν] Haec leuiter inflectit *Diodorus* pag. 318. Mox ἐπῆσι opinor ſcribendum, vt alias. WASS.

Ἐπὶ πολὺ γὰρ etc.] Lacedaemonii ante pugnam Leuctricam ſe nunquam pedeſtri proelio victos gloriabantur: et quae Athenienſes Demoſthene duce ad Sphacteriam inſulam geſſiſſent, belli potius furtum quoddam, quam victoriam fuiſſe. *Pauſan* in Atticorum primo, p. 12. HUDS. *Valla* vertit: *Nam fere eo tempore de vtriſque talis opinio erat, vt hi mediterranei pedeſtribus copiis longe praeſtantiſſimi eſſent, illi inter maritimos plurimum ſe nauali praecellerent. Stephanus* ibi ad verba τοῖς μὲν haec adnotat: De Lacedaemoniis intelligendum exiſtimatur, quod priore loco dicit: de Athenienſibus, quod poſteriore. Sed *Scholiaſtes Gr.* quamuis et ipſe de hoc aſſentiatur, aliam expoſitionem affert, iſtam videlicet: *Lacedaemonios pedeſtri pugna ſemper antea fortiſſimos, tunc in nauali fortiſſime rem gerere: et Athenienſes, quorum magna in nauali praeſtantia eſſe ſoleret, tunc in pedeſtri praeſtantiſſimos eſſe.* Sed, niſi aliter ſcriptum locum iſtum habuit, ita potuiſſe exponere non videtur. Haec *Stephanus.* Mihi locus, etiam retenta recepta lectione, hanc paraphraſin *Scholiaſtae* recipere videtur. Certe *Diodorus* illum eadem ſententia παραφράζει; quamquam paullo inſolentius pro eo, quod apud *Scholiaſten* eſt νῦν εἰς τὴν ναυμαχίαν κρατίστους εἶναι, dicit θαλαττοκρατεῖν. DUCK.

Ἐπεὶ τῆς δόξης] Locum expl. Abreſch. 383. GOTTL.

Ἐπιπολὺ ἐπ. τ. δόξ.] Etiam Schol. vt Abreſch. legiſſe videtur, τὰ τῆς δόξης. Senſus ſimplex eſſe videtur: multum gloriae afferebat *tunc temporis*, (non omnino, non ſemper, ſed in illa cauſſa Pylia, illis, et Athenienſibus, quod (nunc) eſſent continentis propugnatores, et terreſtri certamine potiores; his (Lacedaemoniis,) quod eſſent (nunc, iam, in hac cauſſa,) nauales, et mari pollerent. In Schol. ad vſ. 1. pro ἀποτροπαίῳ haud dubie legendum, ἐπὶ τρ. BAVER.

Ἀσίνην] Falſo inſulam vocat *Loydius. Lucanus* VIII, 195. Quas *Aſiae* cautes, et quas Chios alperat vndas. Vbi reponendum *Aſine* ex 2. *Mſſ. Mela*, in *Aſinaco* flumen Pamiſſum. In Cypariſſio, Alpheus. Nomen dedere *vrbes* in litore ſitae, neque aliter *Plin.* Emendationem egregie firmat *Author* Itinerar. Anon. Hinc *Aſines* ſcopulos cauti, *Acritaeque* minacis Linquimus. *Strabonis* Ep. τῇ Μεθώνῃ συνεχὴς ἐστὶν ὁ Ἀκρίτας ἄκρα, ἣν ἀρχὴ τῆς Μεσσηνιακῆς κάλπης· καλεῖται δ' Ἀσίναιος, ἀπὸ Ἀσίνης πόλεως. Aliud etiam agit *Berkelius* ad Stephanum. Solus, inquit, Scylax Laconicam agnoſcit. Idem enim diſerte tradit *Xenophon* Hiſt. Gr. VII. p. 618. ne *Thucyd.* Scholiaſten et alios memorem. vid. *Polybium* p. 511.

inter ipsos remiges et proram, clypeus eius in mare decidit. cum autem in terram delatus fuisset, Athenienses eum susceperunt, et postea in tropaeo sunt usi, quod propter victoriam ex hac *hostium* oppugnatione partam erexerunt. Caeteri vero magna quidem animi alacritate exscendere conabantur: sed non poterant, cum propter locorum difficultatem, tum etiam propter Athenienſium praesentiam, qui hostium impressionem sustinebant, neque loco cedebant. Tunc autem tanta fortunae commutatio facta est, vt Athenienses quidem, ex terra, eaque Laconica, Lacedaemonios, nauibus infestis contra se venientes, propulsarent; Lacedaemonii vero, ex nauibus, et in suum agrum, tunc hostilem, contra Athenienses descendere conarentur. * Ingens enim gloriae accessio eo tempore facta est, his quidem, quod maxime mediterranei, pedestribus proeliis praestantissimi visi fuissent; illis vero, quod maritimi esse rerumque nauticarum peritia longe praestare visi fuissent. Bell. Pelop. an. 7. Olymp. 88. 3. V. C. Varr. 329.

13. Hoc igitur die, et sequentis parte, cum *Lacedaemonii* aliquoties hostis munitionem adorti fuissent, eius oppugnandae finem fecerunt. Tertio die naues aliquot Asinam dimiserunt, ad comparandam materiam ad machinas faciendas; quod eam muri partem, quae portum spectabat, et quae alta quidem erat, sed tamen praecipue locum exscensioni in terram faciendae opportunum habebat, machinis a se captum iri sperarent. Interea vero ** quadraginta Athenienſium naues ex Zacyntho aduenerunt; nam accesserant illis auxilio aliquot praesidiariae, quae Naupacti erant, et quatuor Chiae. Sed cum *Athenienses* vidissent et ipsam continentem, et insulam militibus armatis refertam, et naues, quae in portu erant, non prodire, ambigentes quonam appellerent; tunc quidem ad Proten insulam, quae non multum distabat, et deserta erat, contenderunt, ibique castris positis pernoctarunt. Postero die, vt

* Ea enim de vtrisque id temporis opinio erat, quod hi in terra pedestribusque pugnis validissimi incitatique essent; illi in mari et re nauali exercitatissimi. *Acacius* etc. HVDS. ** Sexaginta *Valla*; quasi legisset ἑξήκοντα. Vid. *Annots.* HVDS.

εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος ὑκέτι κώπαις κέχρηνται. ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης καὶ τῆς πρῴρας. Πρὸς τὸ τροπαῖον ἐχρήσαντο] ἀντὶ τοῦ τροπαίῳ ἐχρήσαντο αὐτῷ, ἢ ἀποτροπαίῳ· καὶ αὐτὴν ἔσησαν πλείονος ἕνεκα κάσμου καὶ δόξης. Τῆς προσβολῆς] ἀντὶ τοῦ τῆς μάχης. Οἱ δ' ἄλλοι] Λακεδαιμόνιοι δηλονότι. Καὶ τῶν Ἀθηναίων μενόντων] ὡς ἂν εἰ ἔλεγεν, ἀμυνομένων πρὸ τοῦ φρουρίου, ὃ ἐτείχισαν, καὶ μὴ ἐώντων μηδένα τῶν Λακεδαιμονίων ἀποβῆναι ἀπὸ τῶν νεῶν ἐς τὴν γῆν. τὸ δὲ, καὶ οὐδὲν ὑποχωρούντων, ἀντὶ τοῦ κατ' οὐδὲν ὑποχωρούντων. Ἐς τοῦτό τε περιέσῃ ἡ τύχη] ὡς ἂν εἰ ἔλεγεν, ἐς τοῦτο περιέσῃ ἡ τύχη Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ὥστε Ἀθηναίας μὲν ἐκ τῆς Λακωνικῆς ἀντιτάττεσθαι Λακεδαιμονίοις· Λακεδαιμονίας δὲ, ἐπὶ τὴν γῆν τὴν ἑαυτῶν ζητεῖν ἐκ νεῶν ἀποβαίνειν, καὶ τοῦτο κωλύεσθαι. κατὰ πολὺ γὰρ ἐν τοῖς χρόνοις ἐκείνοις ἔῤῥιπτε τὰ τῆς δόξης· τοῖς μὲν Λακεδαιμονίοις εἰς τὰ πεζὰ μεγίστοις ὄσιν ἀεὶ, νῦν δοκεῖν εἰς τὴν ναυμαχίαν κρατίστοις εἶναι· τοῖς δὲ Ἀθηναίοις, εἰς τὰ ναυτικὰ τεχνίταις οὖσιν ἀεὶ, νῦν δοκεῖν ἀρίστοις εἶναι τὰ πεζά. Καὶ τῇ τρίτῃ ἐπὶ ξύλα] ἀντὶ τοῦ ἐπὶ ξύλα ἐπιτήδεια πρὸς μηχανὰς, ποιηθησομένας εἰς καθαίρεσιν τειχῶν. ἡ δὲ Ἀσίνη, πόλις ἐπὶ Λακωνικῇ. Τήν τε νῆσον] τὴν Σφακτηρίαν. Ἔν τε τῷ λιμένι ὅσας τὰς ναῦς] τῶν Λακεδαιμονίων δηλονότι.

Herodot. VIII, 73. Pausaniae tempore prorsus interciderat. WASS. De loco *Lucani* lege, quae ibi nuper scripsit Doctissimus *Oudendorpius.* DVCK.

Ἐλπίζοντες] In priori parte pro *νομίζοντες*, in altera, *sperantes.* Abresch. 385. GOTTL.

Ἀποβάσεως] Poterat dicere ἀπόβασιν δὲ μᾶλιστα. v. Abresch. l. c. variauit autem syntaxin. GOTTL.

Ἀποβάσεως — ὕσης] Si pro ἀπόβασιν dictum esse volebant, addere etiam debebant, ὕσης esse pro ἔχον. Sed tota animadversio superuacua est. Nec vero quidquam cogit, ἐλπίζοντες in priori membro esse pro *νομίζοντες*. Quorsum enim diceret, hostes putasse, satis altum esse murum? Ineptum vero! Si de propugnatoribus dicat, audiam; et tamen interpreter, sperabant, idoneam fore altitudinem muri; at de oppugnatoribus, frigeat. Sensus est, ac si foret, ὕψος μὲν ἔχον· sperabant, se capere posse machinis, etsi satis altum. BAVER.

Παραγίγν. τεσσαράκοντα] Πεντήκοντα reponendum esse existimat *Ac. Port.* nam ex pag. 228. liquet, nauium numerum (postquam aduenerint naues viginti Athenis missae) fuisse 70. ideoque nisi pro μ scribamus ν, ratio numeri istius et summa ista non constaret. HVDS.

Πρώτην τὴν ν.] Πρώτην cum maiuscula reposui, cum antea πρώτην legeretur. quod leue mendum (vt ait *Palmerius* Exercitation. p. 51.) induxit *Vallam*, vt verteret *in primam insulam.* Πρώτην autem esse proprium insulae nomen, patet ex articulo τήν, aliter dixisset *Thucydides* ἐς πρώτην νῆσον. Nam licet forte ea insula id nomen habuerit ex situs ordine, quando non habuit aliud proprium nomen, non ex significatu Latine debet dici *prima*, sed vt sonat Graece *Prote.* Manet etiam hodie eius nominis vestigium; vocatur enim *Prodene.* HVDS.

Παρασκευασ.] v. Abresch. 385. GOTTL.

σκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν, ἀνήγοντο, [r] ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν· εἰ δὲ μὴ, ὡς αὐτοὶ ἐπεσπλευσόμενοι. καὶ οἱ μὲν ὅτε ἀντανήγοντο, ὅτε, ἃ διενοήθησαν, φράξαι τοὺς ἔσπλους, ἔτυχον ποιήσαντες· [s] ἡσυχάζοντες δ' ἐν τῇ γῇ, [t] τάς τε ναῦς ἐπλήρουν, καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι, ὄντι οὐ [v] σμικρῷ, ναυμαχήσοντες.

ιδ'. Οἱ δ' Ἀθηναῖοι, γνόντες, [x] καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς. καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους, προσπεσόντες, ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες, ὡς [y] διὰ βραχέος, ἔτρωσαν μὲν πολλὰς, [z] πέντε δ' ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς [a] ἀνδράσι· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. αἱ δὲ, [b] καὶ πληρούμεναι ἔτι, πρὶν ἀνάγεσθαι, ἐκόπτοντο. καί τινας καὶ ἀναδούμενοι, κενὰς εἷλκον, τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι, καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι [c] περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν· καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον, [d] ἀντιλαμβανόμενοι τῶν νεῶν. καὶ ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. ἐγένετό τε ὁ θόρυβος μέγας, καὶ ἀντηλλαγμένος τοῦ [e] ἑκατέρων τρόπου περὶ τὰς ναῦς. οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν. οἵ τε Ἀθηναῖοι, κρατοῦντες, καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ [f] ὡς ἐπιπλεῖστον ἐπεξελθεῖν, ἀπὸ νεῶν ἐπεζομάχουν. πολύν τε πόνον παρασχόντες ἀλλήλοις, καὶ τραυματίσαντες, διεκρίθησαν. καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς, πλὴν [g] τῶν τοπρῶτον ληφθεισῶν, διέσωσαν. καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ μὲν [h] τροπαῖόν τε ἔστησαν, καὶ νεκροὺς ἀπέδοσαν, καὶ ναυαγίων ἐκράτησαν· καὶ τὴν νῆσον εὐθὺς περιέπλεον, καὶ ἐν φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων. [i] οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι, καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες, ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

ιε'. Ες δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα [k] περὶ Πύλον, ἔδοξεν αὐτοῖς, ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ, τὰ τέλη καταβάντας [l] ἐς τὸ στρατόπεδον, βουλεύειν [m] πρὸς τὸ χρῆμα, ὁρῶντας, ὅ, τι ἂν δοκῇ. καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι, καὶ κινδυνεύειν [n] οὐκ ἐβούλοντο, ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς, ἢ ὑπὸ πλήθους [o] βιασθέντας, ἢ κρατηθέντας, ἔδοξεν [p] αὐτοῖς, πρὸς τοὺς στρατηγοὺς τῶν

r Εἰ Gr. s Ἡσυχάζοντες δὲ ἐν Reg. Gr. (Mosqu.) Et mox οἱ δὲ Ἀθην. γν. Gr. t Τὰς ναῦς Cl. v Οὐ μικρῷ Cl. Gr. x Καθεκάτερον Reg. y Διαβραχέος Ald. Flor. Bas. Steph. 1. et plerumque διατάχους. Hudf. Διαβραχεὶς Caff. Διαβραχέως Aug. z Πέντε δὲ ἔλαβον Ar. C. Reg. Caff. Gr. a Ἀνδράσιν Gr. Ἀνδρᾶσι Mosqu. et mox, ἐνέβαλον. b Καὶ deest Reg. c Παρ' αὐτῶν Dan. Mosqu. d Ἐπιλαμβανόμενοι Ar. C. Cam. Cl. Gr. Flor. Caff. Reg. Dan. Aug. In Caff. super ἐπι rec. manus scripserat ἀντι. e Ἑκατέρου Reg. Gr. f Ἐπὶ πλεῖστον C. Ὡς ἐπὶ πλεῖστον Caff. Gr. Ὡσεπιπλεῖστον Reg. g Τῶν πρώτων Ar. C. Τῶν τὸ πρῶτον Caff. Aug. h Τροπαῖον ἔστησαν Ar. C. i Οἱ δὲ ἐν Gr. Οὐδ' ἐν τ. Mosqu. k Περὶ τὴν Πύλον Ar. C. Dan. l Ἐπὶ Ar. C. Dan. m Παραχρῆμα Marg. Ar. C. Cl. Gr. Mosqu. Aug. Reg. Caff. Dan. In margine manu recenti γρ. πρὸς τὸ χρῆμα Caff. n Οὐκ ἐβούλοντο, ἢ ὑπὸ λιμοῦ etc. Ar. C. Mosqu. Aug. Reg. Caff. Gr. Dan. et hic λοιμοῦ. o Βιασθέντας κρατηθῆναι Ar. C. Cam. Gr. Βιασθέντας ἢ κρατηθῆναι Cl. Aug. Sic quoque Caff. et in marg. recenti manu γρ. κρατηθέντας. Reg. et Dan. βιασθέντας κρατηθῆναι. Et ita Mosqu. p Αὐτοὺς Reg.

Ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν] *H. Stephanus* in Animadverſ. ad Lib. de Dial. pag. 23. *Scholiaſten* ſequens, hoc quoque inter ἀναντα πόδοτα refert. Sed euidentior eſt haec figura in plerisque aliis, quae ibi collegit, quam in his verbis *Thucydidis*. Plura exempla ſuppeditabunt *Budaeus* ad l. 2. D. de Orig. Iur. pag. 76. *Edit. Vaſcoſ.* et *Voſſius* Inſtitution. Orator. IV, 1, 12. DVCK.

Ἢν μὲν ἐθέλ.] Si μὲν abſit, aut δὴ eius loco ſit, non fuerit anacoluthon; ſed μὲν addito, deeſt vtique conſequens, facile tamen ſupplendum. BAVER.

Σμικρῷ] *Gr. Cl.* malo exemplo μικρῷ. Olim ζμικρὸς, inquit *Euſtath.* Attici ζ in σ mutarunt. Apud *Herodotum* pro σμάραγδον minus recte μάραγδον ex *Mediceo* reponit *Cl. Gronouius*: *Menandrum* ita vſum eſſe ſcio. In hac voce vtriusque auctores linguae ſervant ζ vel σ. Immo *Homerum* ζμερδνὸς, ζβεννυμενάων, ζμῶδιξ et ζβέσαι reliquiſſe admodum probabile eſt. vid. *Aelium Dionyſium* apud *Euſtath.* et Noſtrum etiam ζμικρός. vid. *Etymologum*. WASS.

Ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος] Vid. ad II, 9. DVCK.

Πρὸς τὸ χρῆμα] *Valla* legit παραχρῆμα: nam vertit, *quamprimum*. Et ſic plerique *Mſſ.* Πρὸς τὸ χρῆμα *Portus* vertit *ex tempore*, Clar. *Waſſ. pro tempore*: quod III, 29. eſt βουλεύεσθαι ἐκ τῶν παρόντων. Βουλεύειν πρός τι etiam eſt *deliberare* et *ſtatuere de re aliqua*, etſi hoc frequentius dicitur περί τινος βουλεύειν. *Thucyd.* I, 81. et IV, 87. Πρὸς τάδε βουλεύεσθε εὖ. *Aeſchyl.* Prometh. 1029. Πρὸς ταῦτα βούλευε. DVCK.

Πρὸς τὸ χρῆμα] Alii παραχρῆμα. Sed vulgata recte habet. v. Abreſch. 386. GOTTL.

Βουλεύειν πρὸς τὸ χρ. rel.] Quia ſequitur, ὅ τι ἂν δοκῇ, malim πρὸς referre ad ὁρῶντας· alioqui melius iungatur, πρ. τὸ χρ. βουλ. *e re* conſulere. Niſi forte ὁρῶντας eſt gloſſema, explicaturi vel ſupplentis illud, πρ. τὸ χρ. Aut conſulto ita medium inſeruit ipſe Thuc. quod referretur et ad πρ. τὸ χρ. et ad βουλεύειν. Hoc placet. BAVER.

Βιασθέντας, ἢ κρατηθέντας] Recte, opinor, *Codd.* qui habent βιασθέντας κρατηθῆναι. WASS. Pro hac ſcriptura eſt nume-

ad nauale proelium inſtructi, in altum vela fecerunt, *vt pugnarent*, ſi contra ſe in apertum mare venire voluiſſent: ſin minus, vt ipſi *in portum* ingrederentur. Illi vero nec obuiam ipſis in altum proceſſerunt, neque, quemadmodum conſtituerant, portus oſtia obſtruxerunt: ſed in terra ſe continentes, naues complebant; ſeque ad nauale proelium in portu non paruo committendum parabant, ſiquis ingredi voluiſſet. Bell. Pelop. an. 7. Olymp. 88. 3. V. C. Varr. 329.

14. Athenienſes vero hac re cognita ab vtroque portus oſtio impreſſionem in ipſos fecerunt; et inuecti in complures ipſorum naues a terra iam remotas; et aduerſis proris venientes, in fugam verterunt; et inſequuti, quod breue ſpatium inter eos eſſet, multas quidem fregerunt, quinque vero ceperunt, et harum vnam cum ipſis viris: in caeteras vero, quae ad terram confugerant, impreſſionem fecerunt. aliae vero, dum adhuc inſtruerentur, antequam in altum proueherentur, *ab Athenienſibus* lacerabantur. Nonnullas etiam, ex quibus homines aufugerant, *ſuis nauibus* alligarunt, et vacuas traxerunt. Quae conſpicientes Lacedaemonii, et cladem iſtam aegerrime ferentes, quod ipſorum ciues *ab hoſtibus* in inſula interciperentur, ad opem illis ferendam veniebant. et armati in mare ingredientes, ſuas naues manibus apprehendebant, et ad ſe retrahebant. Et in eo vnusquisque exiſtimabat, res impeditas fuiſſe, quibus gerendis et ipſe non interfuiſſet. et ingens tumultus, * et ab vtrorumque moribus diuerſus circa naues exſtitit. Nam et Lacedaemonii prae ſtudio et formidine nihil aliud (vt ita loquar) quam nauale proelium e terra faciebant. Et Athenienſes, qui victores erant, et qui praeſenti *victoriae* fortuna quam longiſſime progredi volebant, ex nauibus pedeſtrem pugnam committebant. cum autem multo labore ſe ipſos mutuo fatigaſſent, et multa vulnera vltro citroque intuliſſent et accepiſſent, diremti ſunt, et Lacedaemonii naues inanes, illis exceptis, quae initio captae fuerant, ſeruarunt. Cum autem vtrique in ſua caſtra ſe recepiſſent, illi quidem tropaeum erexerunt, et caeſorum cadauera reſtituerunt, nauiumque fractarum tabulis ſunt potiti; inſulamque protinus claſſe circumire coeperunt, eamque cuſtodiebant, quod viri in ea intercepti eſſent. Peloponneſii vero, qui in continente erant, et qui ex omnibus *regionibus* ad opem *ſuis* ferendam iam conuenerant, caſtris ad Pylum poſitis ſe in ſuo loco continebant. Menſe adhuc Maio.

15. Cum autem rerum ad Pylum geſtarum nuntius Spartam allatus fuiſſet, placuit ipſis *Lacedaemoniis*, quippe quod respublica magnam cladem accepiſſet, vt ſummi Magiſtratus in caſtra ſe conferrent; et, rebus inſpectis, pro tempore conſtituerent, quicquid agendum videretur. Illis vero, cum animaduertiſſent nulla ratione ſuis ſuccurri poſſe, nec in discrimen illos adducere vellent, ** ne vel fame premerentur, vel multitudine opprimerentur, vel in eorum poteſtatem redigerentur, placuit, induciis

* Commutata amborum ad naues forma pugnandi. *Valla.* Immutato genere pugnae vtriusque partis. *Acacius.* HVDS. ** Vt aut fame etc. *Valla* et *Acacius.* IDEM.

Ἦν μὲν ἀντεκτλεῖν ἐθέλωσι σφίσι] τὸ σχῆμα ἀναπαύδοτον. καὶ Ὅμηρος, Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, Ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται· Εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι. Καὶ οἱ μὲν] οἱ Λακεδαιμόνιοι. Οἱ δ' Ἀθηναῖοι γνόντες] τὴν βοηθὴν ἐκείνων δηλονότι. Καθ' ἑκάτερον τὸν ἔσπλουν] ἤγουν, τόν τε μενὸν καὶ τὸν πλατύν. Καὶ ἐν τούτῳ κεκωλύσθαι] ἐν τούτῳ ἐδόκει κεκωλύσθαι ἕκαστος τὰ πράγματα, ἐν τῷ ἕκαστοι μὴ εὐρεθείησαν. Ὡς ἐπιπλεῖστον ἐπεξελθεῖν] πλέον ἐργάσασθαι. Καὶ ἐν φυλακῇ εἶχον] τὴν νῆσον δηλονότι. Οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι] οἵ τε ἐκ τῆς Πελοποννήσου, καὶ οἱ ἀπὸ τῶν ἄλλων ξυμμάχων αὐτοῖς προσελθόντες νῦν. Τὰ τέλη καταβάντες] τοὺς ἄρχοντας τῶν Σπαρτιατῶν. Τὰ περὶ Πύλον] καλῶς ἡ προσθήκη,

rus *Miſſ.* In vulgata ἀπὸ κοινοῦ repetendum eſt τὸ παθεῖν. Ἢ βιασθ. ἢ κρατηθέντας] Melior haud dubie lectio Codd. DVCK. ἢ βιασθέντας κρατηθῆναι· ne ſynonyma diſtinguantur. RAVEN.

Ἀθηναίων, ἢν [q] ἐθέλωσι, σπονδὰς ποιησαμένους [r] τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως, καὶ τοὺς ἄνδρας [s] ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι.

ιε'. Δεξαμένων δὲ τῶν [t] στρατηγῶν τὸν λόγον, [v] ἐγίγνοντο σπονδαὶ τοιαίδε. »Λακεδαιμονίους μὲν τὰς ναῦς, ἐν αἷς ἐναυμάχησαν, καὶ τὰς ἐν [x] τῇ Λακωνικῇ πάσας, [y] ὅσαι ἦσαν μακραὶ, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι, μήτε καθ' γῆν, μήτε καθὰ [z] θάλασσαν· Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ ἀνδράσι σῖτον ἐᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν, καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων, καὶ δύο [a] κοτύλας οἴνου, καὶ κρέας· θεράποντι δὲ, τέτταρα ἡμίσεα· ταῦτα δὲ, ὁρώντων τῶν Ἀθηναίων ἐκπέμπειν· καὶ [b] πλοῖον μηδὲν ἐκπλεῖν λάθρα. Φυλάσσειν δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντας· καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ [c] Πελοποννησίων στρατῷ, μήτε καθ' γῆν, μήτε καθὰ θάλασσαν. [d] Ὅ, τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐκπεῖσθαι δὲ αὐτὰς [e] μέχρις οὗ ἐπανέλθωσιν [f] οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις. ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους, καὶ πάλιν κομίσαι. ἐλθόντων δὲ, τὰς τε σπονδὰς λελύσθαι ταύτας, καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵασπερ ἂν παραλάβωσιν.« Αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο, καὶ αἱ νῆες παρεδόθησαν, ἕως περὶ ἑξήκοντα, καὶ οἱ πρέσβεις ἀπεστάλησαν· ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας, ἔλεξαν τοιάδε.

ιζ'. »ΕΠΕΜΨΑΝ ἡμᾶς [g] Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας, ὅ, τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τὸ αὐτὸ [h] πείθωμεν, καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν, ὡς ἐκ τῶν παρόντων, κόσμον μάλιστα μέλλῃ οἴσειν. [i] τοὺς δὲ λόγους μακροτέρους ἢ παρὰ τὸ εἰωθὸς μηκυνθέντας, ἀλλ' ἐπιχώριον [k] ὂν ἡμῖν, οὐ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ, ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν πρακτέων λόγοις τὸ δέον πράσσειν. λάβετε δὲ αὐτοὺς μὴ πολεμίους, [l] μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βεβουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. [m] ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχοντες μὲν, ὧν κρατεῖτε, προσλαβεῖν δὲ τιμὴν καὶ δόξαν· καὶ μὴ παθεῖν, ὅπερ οἱ ἀπ' ἄλλου τινὸς ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ [n] πλέονος ἐλπίδι ἐρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖστα μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοι

q Θέλωσι *Ar. C. Dan.* *r* Pro κατὰ τὰ περὶ Πύλον. *Fr. Portus. Hudſ.* *s* Ὡς τάχιστα duabus vocibus *Cod. Mſſ. Hudſ.* *t* Στρατιητῶν *Ar. C. Reg. Gr. Dan.* *v* Ἐγίγνοντο *Ar. C. Hudſ.* (Aug.) Puto, voluiſſe ſcribere, ἐγένοντο, vt in *Reg. Caſſ. Dan. Gr.* *x* τῇ omittit *Cl.* *y* Ὁπόσαι *Marg.* *z* Θάλατταν *Gr.* Antea Mosqu. τὰ ὅπλα, et mox, τοῖς ἐν νήσῳ· et paullo poſt, pro ἐγένοντο, in marg. κύτοις. *a* Κοτύλας *Reg.* *b* Πλοῖον *Gr.* Πλοῖον μὲν Mosqu. et antea, πλεῖν· et mox d. μὴ poſt ὅτι. *c* Πελοποννησίῳ *Caſſ.* Aug. *d* Ὅστε *Ar. C.* Ὅτι *Ald. Flor. Baſ.* Ὅτου *Dan.* *e* Μέχρι *Caſſ.* Aug. *Gr.* Mosqu. *f* οἱ deeſt *Reg.* *g* οἱ Λακεδ. *Cl.* Paullo ante Mosqu. οἱ μὲν πρέσβ. mox πρέξαντας. *h* Id eſt: πρέξοντας, καὶ πείσαντας ὑμᾶς ἢ, τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τύχῃ, καὶ τὸ αὐτὸ καὶ ἡμῖν etc. *Ae. Port.* *i* Vide *Meurſii* Miſcell. Lacon. l. 3. c. 3. p. 207. *Hudſ.* *k* Ὂν deeſt *Ar. C. Dan.* Mox ἀρκῶσι Mosqu. *l* Conſecutio poſtulabat, μηδὲ θρασείας, καὶ ἀξυνέτους. *Ae. Port.* *m* Ἡμῖν *Flor. Steph.* I. *n* Πλείονες *Ar. C. Reg.*

Μεμαγμένον] Deſcripſit hunc locum *Thom. Magiſter* in μάττω. Quod *Thucydides* dicit δύο χοίνικας ἀλφίτων, id ſine dubio de binis in diem accipiendum eſt. Hoc *Portus* Lacedaemonios de induſtria pactos putat, vt, ſi inter ipſos et Athenienſes non conueniret, ſuis in inſula aliquantum commeatus ſupereſſet. Nam vulgo vna χοῖνιξ in diurnum alimentum hominis ſufficere credebatur. Vid. *Perizon.* ad Aelian. I. V. H. 26. De voce κοτύλη vid. ad VII, 87. DUCK.

Ὅ, τι ἂν τούτων παραβαίνωσιν] Quod ſequitur τότε, coniicit Abreſch. ὅτε, quod et habent codd. quidam; reſpondere enim ſibi has particulas, p. 388. Sequitur et ὁτιοῦν. GOTTL.

Ὅ, τι δ' ἂν — παραβ.] Non incommode Abr. ὅτε, niſi quod pro illo, in tali contexto, poni magis ſolet, ἐὰν, vel εἰ δὲ pro quo ipſo, more Noſtri, et Liuii, poſitum eſt Pronom. relat. καὶ ὅτι, eſt pro κἂν ὁτιοῦν, i. e. vel leuiſſime; vel minima in re. BAVER.

Μέχρις οὗ] An μέχρι, vt Cap. 4. Noſtri nihil mouent. WASS. Vid. Var. Lect. hic, et ſupra. DUCK.

Καὶ οἱ πρέσβεις] Nomina legatorum non exprimuntur a *Thucydide*: ex *Ariſtophane* tamen in *Equitibus* expiſcatus ſum praecipui et Coryphaei legatorum nomen. Is fuit Archeptolemus, quem Cleon ferentem pacis conditiones aequas infecto negotio dimiſit, et eo nomine ab *Ariſtophane* exagitatur. *Palmerius.* HVDS. Vide *Palmer.* Exercit. p. 51. et 727. ad *Schol.* Ariſtoph. Equit. v. 791. DUCK.

Τὸ ἐπιχώρ.] i. e. κατὰ τὸ ἐπ. — Ita Bauer. p. 136. aut anacoluth. habet. GOTTL.

factis cum Athenienſium ducibus (ſi vellent) de rebus ad Pylum ſpectantibus, legatos Athenas de compoſitione acturos mittere, et operam dare, vt ſuos ciues primo quoque tempore reciperent. Bell. Pelop. an. 7. Olymp. 88. 3. V. C. Varr. 329.

16. Cum autem *Athenienſium* duces conditionem *ab illis oblatam* accepiſſent, has inducias fecerunt. „Vt Lacedaemonii quidem naues, in quibus pugnauerant, omnesque, quotquot in ora Laconica longae erant, Pylum delatas Athenienſibus traderent, nec arma munitionibus inferrent, neque a terra, neque a mari. Athenienſes vero permitterent Lacedaemoniis, qui in continente erant, vt ſuis ciuibus in inſula interceptis afferrent frumentum praeſcriptum, ac molitum; binas videlicet farinae choenicas Atticas, totidem vini cotylas, et carnis fruſtum, viritim. ſeruis vero, dimidium horum. vtque haec ipſa *in inſulam* Athenienſibus inſpectantibus mitterent, neue nauigium vllum furtim illuc ingrederetur. Interea Athenienſes inſulam nihilo minus cuſtodirent, ita tamen, vt in eam non deſcenderent; nec Peloponneſiorum copiis vel terra vel mari arma inferrent. Quicquid autem horum vel tantillum alterutri transgrederentur, tunc induciae ruptae cenſerentur. hae autem ratae eſſent, donec Lacedaemoniorum legati rediiſſent. Athenienſes autem eos *Athenas* portarent, et *inde* reportarent. Illis vero reuerſis hae induciae irritae eſſent, vtque Athenienſes *Lacedaemoniis* naues eiusmodi reſtituerent, cuiusmodi accepiſſent.“ His igitur conditionibus induciae factae, nauesque circiter ſexaginta traditae, legatique miſſi fuerunt. Hi autem, cum Athenas peruenisſent, haec verba fecerunt.

17. „LACEDAEMONII nos huc miſerunt, Athenienſes, ad transigendum de viris illis, qui ſunt in inſula, et ad perſuadendum, quicquid et vobis vtile eſt futurum, et nobis idem in hoc calamitoſo caſu, vt in praeſenti rerum ſtatu, decus maxime eſt allaturum. Neque vero longiorem orationem praeter *noſtram* conſuetudinem habebimus: ſed quia patrium nobis eſt inſtitutum, vbi pauca verba ſufficiunt, non vti multis, rurſus vero pluribus vti, quoties tempus poſtulat, vt verbis doceamus aliquid eorum, quae operae pretium eſt facere. Haec autem non hoſtili animo accipite; neque quaſi rerum ignaros vos doceri, ſed quaſi gnaros admoneri, vt recte conſultetis, exiſtimate. Vobis enim * praeſentem proſperitatem praeclare adminiſtrare licet, ** cum penes vos habeatis, quae tenetis, et honorem et gloriam praeterea ſitis conſequuturi; nec admittere, quod accidere ſolet hominibus, qui praeter conſuetudinem aliquid boni ſunt adepti. ſemper enim ſpe elati maiora appetunt, quod et in praeſentia praeter opinionem res ipſis feliciter ceſſerit. At quibus crebrae alternantis fortunae viciſſitudines con-

* *Id eſt:* in hac proſperitate laudabiliter vos gerere etc. HVDS. ** Cum *viros* illos in veſtra poteſtate habeatis etc. *Potiſſimum ὧν κρατεῖτε alio referri. Steph.* IDEM.

ἵνα δηλώσῃ, ὅτι ὑ περὶ πάντων τῶν πραγμάτων, ὑδὲ παντὸς τοῦ πολέμου, ἀλλὰ περὶ μόνων τῶν κατὰ Πύλον. ἵνα νοήσωσιν, εἰς τὰ κατὰ Πύλον μόνα. Μὴ ἐπιφέρειν] ἀντὶ τοῦ προσφέρειν, καὶ ἄγειν. Μήτε κατὰ γῆν] μήτε τοῖς ἐν τῇ Πύλῳ, μήτε τοῖς ἐν τῇ Σφακτηρίᾳ. Ἀποστεῖλαι δὲ αὐτὸς] ἤγων, τοὺς πρέσβεις τῶν Λακεδαιμονίων. Ἀθηναίους ὁμοίως] ἤγων, ἀκατάλυτας ἀποδόντων τοῖς Λακεδαιμονίοις. Ἔτεμψαν ἡμᾶς Λακεδαιμόνιοι] τὸ πρυόιμιον ἐκ προσοχῆς, καὶ ὃς αὐτὰ τοῦ πράγματος. τέμνεται δὲ πολλῶν τῶν συμφέροντι. ἔστι δ' ὅτε ἔχει καὶ τὸ δυνατὸν παραμυγνύμενον. Καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν] καὶ ὃ ἂν ὑμῖν ὠφέλιμον ἐσόμενον ἐπιδεῖξομεν καὶ ὑμᾶ ἡμῖν εὐπρεπὲς ἐν τῇ παρούσῃ συμφορᾷ. Τοὺς δὲ λόγους μακροτέρους] περιττὸν τὸ μακροτέρους. ἔρχει γὰρ εἰπεῖν, τοὺς δὲ λόγους ὑ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν. Ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντας τι] διδάσκοντας λόγοις τὸ δέον, τῶν πράξεων τὸ τράσσειν. ἵνα ᾖ τι εἰδότων, πείθοντας λόγῳ δεῖσθαι διαπράττεσθαι τὰ προσήκοντα. παραίτησιν δὲ ἡ λέξις περιέχει τῆς ἐσομένης μακρολογίας, ὡς ἔντος Λακωνικῆ τὸ μακρολογεῖν. Τῶν παρόντων] τῶν σπονδῶν. Λάβετε δὲ αὐτοὺς] ἐκόντας δὲ τῶν λόγων μήτε ὑσιμενῶς, ὡς πολεμίων ἐκόντας, μήτε ἀσυνέτως ἀλλ' ὡς δὴ συνετοὶ, ὑτοιμήσεως μόνης ἕνεκεν αὐτοὺς νομίσατε λέγεσθαι πρὸς εἰδότας ὑμᾶς ἕκαστα. Μὴ πολυπρᾶς] ἤγων, μὴ διαθέσει πολεμικῇ Καλοῖς θέσθαι] ἐπαινετῶς διοικῆσαι. Καὶ μὴ παθεῖν] ἀπὸ κοινῆ τὸ ἔξεστι. Τὸ δὲ, ἀγαθόν τι λαμβάνοντας, ὑπὸ τοῦ εὐτραγόντες κεῖται. Ἀεὶ γὰρ τὸ πλέονος ἐλπίδι ὀρέγονται] ἀεὶ γὰρ ὀρέγοντας τοῦ πλείονος, ἐλπίζοντας κτᾶσθαι τι ἐξεῖναι. προσυπακοῦσαι δὲ δεῖ ἔξωθεν τὸν, καὶ διὰ τοῦτο ἐκπίπτουσι τῆς εὐτυχίας. Διὰ τὸ καὶ τὰ παρόντα ἀσμένως εὐτυχοῦσαι] ἤγων, μετὰ εὐτυχίας λαβεῖν τὰ παρόντα. Οἷς δὲ πλείοσι μεταβολαὶ] οἷς τισι δὲ ἐπ' ἀμφότερα, ὅτι τε δηλονότι

εἰσι [o] καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις. ὃ τῇ τε ὑμετέρᾳ πόλει, δι' ἐμπειρίαν, καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τῶ [p] εἰκότος [q] προσείη.

ιή. »Γνῶτε δὲ καὶ ἐς [r] τὰς ἡμετέρας νῦν ξυμφορὰς ἀποδόντες· οἵτινες, ἀξίωμα μέγιστον τῶν Ελλήνων ἔχοντες, ἤκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ [s] κυριώτεροι νομίζοντες εἶναι [t] δόναι, ἐφ' ἃ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα. καίτοι ἔτε δυνάμεως ἐνδεία ἐπάθομεν αὐτό, ἔτε μείζονος προσγενομένης ὑβρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ἁμοίως ὑπάρχει. ὥστε ἂν εἰκὸς, [v] ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν [x] προσγεγενημένων, καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἔσεσθαι. σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ [y] ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο, τόν τε πόλεμον νομίσωσι μὴ, καθ' ὅσον ἄν τις [z] αὐτὸ μέρος [a] βέλτιον, μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' [b] ὡς ἂν αἱ τύχαι [c] αὐτῶν ἡγήσωνται. καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι [d] πταίοντες, διὰ τὸ μὴ, τῷ ὀρθυμένῳ αὐτῷ πιστεύοντες, ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν [e] ἂν μάλιστα καταλύοιντο. ὃ νῦν [f] ὑμῖν, [g] ὦ Ἀθηναῖοι, καλῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι· καὶ μήποτε ὕστερον, ἢν ἄρα μὴ πειθόμενοι σφαλῆτε, (ἃ πολλὰ ἐνδέχεται,) νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι· ἐξὸν ἀκίνδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν.

ιθ. »Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς σπονδὰς καὶ διάλυσιν πολέμου, διδόντες μὲν εἰρήνην καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν [h] πολλὴν καὶ οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τὰς

o Particulam καὶ abundare existimat *Scholiastes*, quod mihi non videtur. *Steph.* in Append. ad Script. al. de Dial. p. 33. *Hudf.* p Εἰκότος *Ar. C. Barr. Ald. Flor. Baf.* q Προσείη Mosqu. *Gr.* a corrector; fuerat primum προσείησι. r Id est: τὰς ξυμφορὰς ἡμῶν, οἵτινες etc. Vel, τὰς ἡ. ν. ξ. ἀπ. καὶ γὰρ ἡμεῖς ἀξίωμα etc. *Ae. Port.* Ἡμετέρας non agnoscunt *Ar. C.* Νῦν omittit *Cl.* Ἡμετέρας abest etiam a *Dan.* Νῦν a *Caff.* Aug. Τὰς νῦν ἡμετέρας Mosqu. hoc correct. ex ἡμέρας, a m. i. s Κυριώτερον *Reg.* t Δόναι omittit *Gr.* Mox προσγενομένης Mosqu. u Ὑμᾶς deest *Reg.* x Προσγεγενημένης *Ar.* Προγεγενημένων *C.* y Ἐπ' ἀμφίβ. *Gr.* Antea δὲ post σωφρ. suprascr. z Scilicet τὸ πολέμ. Sic et infra, ἐν τῷ ὀρθυμένῳ αὐτῷ. ἐν τοῖς κατορθώμασιν αὐτῷ τῷ πολέμῳ. *Ae. Port.* a Βέλτιον *Caff.* Aug. Mosqu. b Ὅπῃ ἂν *Ald. Flor. Baf.* c Id est: αὐτῶν τῶν μερῶν τὸ πολέμου. *Ae. Port.* d Πταίοντες ἐπαίρεσθαι, omissis intermediis, quae deinde in marg. scripta sunt, *Caff.* Aug. qui pro αὐτῷ, αὐτὸς. e Μάλιστα ἂν *Reg.* f Ἡμῖν *Dan.* g Ὦ deest *Reg.* Aug. sed suprascr. m. 2. h Πολλὴν non agnoscunt *Ar. C. Dan.*

Τμετ. π.] Pro ὑμετέρᾳ malit Bauer. ἡμ. et ὑμῖν pro ἡμῖν. GOTTL.

Τμετ. πόλει, κ. τ. λ.] Explicari tamen et ferri hoc potest, sine mea emendatione, si ἐμπειρίαν Athenienſium explices omnino, vniuerſe, rerum peritiam, vſum belli, et ἐκ τῶ εἰκότος, merito, recte, vt iam expertis. Quid, quod Athenienſibus tamen et ipſis aduerſa euenerant, et addit init. c. 18. καὶ, *etiam*; ergo et alios, aliarum caſus antea memorauerit? BAVER.

Αὐτοὶ — ὄντες] *Thomas Magiſt.* in βέλομαι. WASS.

Σωφρόνων — προσφέροιντο] *Stobaeus* pag. 74. WASS. *Portus* aeſtuat in ſtructura orationis. Nam dicit, σωφρόνων ἀνδρῶν eſſe antiptoſin, pro σώφρονες ἄνδρες: vel ellipſin eſſe, quae ita expleri poſſit, ἐκεῖνοι δέ εἰσιν ἀνδρῶν σωφρόνων, οἵτινες. Hoc praeſero. Sed etiam nominatiui οἱ αὐτοὶ videntur reuocari poſſe ad principium huius periodi, hoc modo: οἱ αὐτοὶ δὲ σωφρόνων ἀνδρῶν, οἵτινες. DVCK.

Σωφρόνων] Vertit Bauer. p. 138. haec verba, et Heilm. p. 481. quae interpr. probabilior. GOTTL.

Σωφρ. δὲ — — καταλύοιντο] Durius paullo ſupplet Abr. τοιοῦτοί εἰσιν, poſt σωφρ. ἀνδρῶν· ſed aliquanto durius poſt πταίοντες, εἶεν, οἵ. Sed ita interpretanti καταλύοιντο fuerit, *pacem faciant*, bello depoſito. Πταίοντες ſimpliciter eſt, cum minimum offendant; vel, minimum offenderint, et rel. Quod ſi καταλύοιντο ſign. *deſtruantur*, frangantur; facile iunxeris τῷ πταίοντες: minime ita offenderint, vt — deiiciantur ex fortuna laetiſſima. Sed enim μάλιστα redundet tali ſenſu; quare malim καταλύοιντό intelligere, bellum deponant. BAVER.

Μεταχειρίζειν] Pro μεταχειρίζεσθαι, *Suidas.* μεταχειρίζομαι, non μεταχειρίζω, *Thom. Magiſt.* WASS.

Μεταχειρ.] Senſum loci expt. Abreſch. p. 389. GOTTL.

Οἱ τοιοῦτοι] Vid. Abr. 389. GOTTL.

Ὀρθυμένῳ] Ὀρθυμένῳ αὐτῷ alii libri. vid. Bauer. pag. 138. GOTTL.

Καταλύοιντο] v. Heilm. in crit. Thuc. p. 45. i. e. ἀναπαύοιντο, vt Schol. expl. quieſcant, media in fortuna, Lotium ſectentur, vel pacem faciant. GOTTL.

Καὶ μήποτε ὕστερον νομισθῆναι] *Stephanus* vertit, *et non committetis, vt — exiſtimemini. Portus, et cauebitis, ne exiſtimemini.* Putarunt, quantum ex hoc ſupplemento intelligi poteſt, ante μήποτε deeſſe ὁρᾶτε, σκοπεῖτε, aut aliud huiusmodi, quae ellipſis frequens eſt ante ὅπως. Eam etiam in his verbis *Al. Artemini* IV, 34. τῶν εἰς ἑαυτὸν μήποτε ἄμεινον τ' ἀναγκαῖα πράσσειν ſtatuit *Gatakerus*, vt et in *Aelian. Apoſt.* V, 39. et alibi in Libris ſacris; in qua ſententia etiam *H. Stephanus* in Diſſert. de ſtilo Noui Teſtam. *Beza*, *Grotius*, et alii docti Interpretes ad d. l. *Actor.* ſunt. Et haec quoque admitti poteſt in plerisque aliis locis, vbi μήποτε eſt *neſcio an*, vel *fortaſſis*, quorum multa *Budaeus* habet in Commentar. Ling. Gr. pag. 909, 910. Nam in his recte ſuppletur σκεπτέον, vel ſimile quid. Sed in hoc loco *Thucydidis* Infinitiuus νομισθῆναι fortaſſis reſpuit hoc ſupplemen-

tigerunt, eos secundis rerum successibus minime confidere aequum est. Id, quod praecipue et vestrae ciuitati, propter experientiam, et nostrae merito adesse debet. Bell. Pelop. an. 7. Olymp. 88. 3. V. C. Varr. 329.

